μέτρου, ἀφοῦ διῄρουν τὴν περιφέρειαν αὐτοῦ εἰς 24 ἴσα μέρη, ἤνοιγον **παρὰ** τὴν **περιφέρειαν 24** ὀπάς, ὅσα εἶναι τὰ **γράμματα** τοῦ **ἀλφαβήτου** (σχ. 4). Εἰς τὸ κέντρον τοῦ δίσκου **ἤνοιγον ἐπίσης** ὀπὴν **καὶ** εἰς ἀπόστασιν ἀπ' αὐτῆς 2 περίπου ἑκατοστομέτρων ἤνοιγον ἄλλην ὀπήν. Ἡ τελευταία αὐτὴ ὀπὴ ἔπρετε νὰ κεῖται ἐπὶ τῆς εὐθείας τῆς ἑνούσης τὴν ὀπὴν τοῦ κέντρου καὶ μίαν τυχοῦσαν ἐκ τῶν 24 ὀπὴν παρὰ τὴν **περιφέ**ρειαν. Κατὰ συμφωνίαν μεταξὺ πομποῦ καὶ δέκτου ἡ παρὰ τὴν περιφέρειαν ὀπή, ἡ εὑρισκομένη ἐπὶ τῆς προεκτάσεως τῆς εὐθείας τῆς ἑνούσης τὴν ὀπὴν τοῦ κέντρου καὶ τὴν παρ' αὐτὸ ὀπὴν ἐλογίζετο ὡς τὸ γράμμα ἄλφα (α). Κατὰ τὴν φορὰν τῆς κινήσεως τῶν δεικτῶν τοῦ ὡρολογίου ἐλαμβάνοντο ἐν συνεχείᾳ ἐπὶ τῶν μετὰ τὸ α ὀπῶν τὰ γράμματα β, γ, δ . . . . ω. Διὰ τὸν φόβον τυχὸν ἀποκρυπτογραφήσεως ἠδύνατο νὰ ληφθῇ ἡ ἀνάγνωσις τῶν γραμμάτων ἐξ ἀριστερῶν τοῦ α ἢ τὸ α νὰ λαμβάνεται 45 μοίρας δεξιὰ ἢ ἀριστερὰ τοῦ ἀνωτέρω ληφθέντος α κλπ. Λεπτὸν νῆμα μήκους 2—3 μέτρων προσεδένετο κατὰ τὸ ἓν ἄκρον μεταξὺ τῆς ὀπῆς τοῦ κέντρου καὶ τῆς παρ' αὐτὸ ὀπῆς. Ἔστω τώρα ὅτι ἐπρόκειτο νὰ σταλῇ ἡ διαταγὴ **ἀποστείλατε χρήματα**. Τὸ ἐλεύθερον ἄκρον τοῦ προσδεδεμένου ὡς ἄνω νήματος τὸ «δίειρον», τὸ ἐπερνοῦσαν δηλαδὴ διὰ τῆς ὀπῆς τοῦ α, ἀκολούθως διὰ τῆς ὀπῆς τοῦ π, κατόπιν τοῦ ο, ἔπειτα τοῦ σ, κατόπιν τοῦ τ κλπ. (Ἂν τυχὸν μία λέξις εἶχε δύο ὅμοια γράμματα ὅπως π. χ. «σύμμαχοι», τὸ νῆμα διήρχετο δύο φορὰς τὴν ὀπὴν τοῦ μ. Τὴν δευτέραν φορὰν ἐκ τῆς ὀπῆς μ ἐξερχόμενον καὶ καλύπτον τὴν περιφέρειαν, εἰσήρχετο πάλιν εἰς τὴν ὀπὴν μ ἐκ τῆς ἀντιθέτου ἐπιφανείας τοῦ δίσκου). Μετὰ τὴν δίοδον τοῦ νήματος διὰ τῆς ἀντιστοίχου ὀπῆς τοῦ τελευταίου γράμματος προσεδένετο τὸ ἄκρον τούτου μὲ τὴν περιφέρειαν καὶ ἀπεστέλλετο ὁ δίσκος εἰς τὸν παραλήπτην. Οὗτος ἐξετύλισσε τὸ νῆμα, ἀφοῦ ἔκοπτε τὸν δεσμὸν αὐτοῦ πρὸς τὴν περιφέρειαν καὶ ἐσημείωνε τὰ γράμματα τὰ ἀντιστοιχοῦντα εἰς ἑκάστην ἔξοδον τοῦ νήματος (αὕτη ὠνομάζετο «ἐξίεσις», ἐν ᾧ τὸ πέρασμα διὰ τῆς ὀπῆς ὠνομάζετο «ἔνερσις») γράφων αὐτὰ ἐκ δεξιῶν πρὸς τὰ ἀριστερά. Ἐνταῦθα θὰ ἔγραφε π.χ.:



Σχ. 4

....	λ	α	τ	ε	χ	ρ	η	μ	α	τ	α
....	11,	10,	9,	8	7,	6,	5,	4,	3,	2,	1

(Ἡ σειρὰ γραφῆς τῶν γραμμάτων σημειοῦται διὰ τῶν κάτωθι αὐτῶν τεθειμένων ἀριθμῶν).

Διὰ τὴν ἀποστολὴν μυστικῆς εἰδήσεως πρὸς πολιορκουμένους ἢ πρὸς πολιορκοῦντας ἐμηχανεύοντο πολλοὺς τρόπους. Ἐστέλλετο π.χ. ἐπιστολὴ φαινομενικῶς ἀθώου περιεχομένου εἰς ὡρισμένα ὅμως γράμματα τῆς ἐπιστολῆς ἐτίθεντο μικραὶ στιγμαὶ ἢ ἐγίνοντο μικραὶ προεκτάσεις τῶν γραμμάτων. Ὁ παραλήπτης ἔπρεπε νὰ διαχωρίσῃ αὐτὰ τὰ γράμματα, τὰ ὁποῖα ἀπήρτιζον τὴν πραγματικὴν ἐπιστολήν. Π.χ., Ἔστω ὅτι ἐστέλλετο ἡ ἑξῆς ἐπιστολή.

Φιλτάτῳ, καὶ πάνυ ἀγαθῷ Διονυσίῳ

Ἐρρῶσθαι

Ἡμῖν, φίλτατε Διονύσιε, καιρὸς ἦν λαμπρός· σεισμοῦ ὅμως γενομένου περὶ λύχνων ἀφὰς καὶ σκότους μεγάλου πολλαὶ μὲν οἰκίαι ἠφανίσθησαν πολλοὶ δὲ ἐν αὐτοῖς εὑρισκόμενοι ἄνθρωποι ἀπωλέσθησαν.

Ἔρρωσο

Δημόκλειτος.

Ἐὰν τώρα γράψωμεν κατὰ σειρὰν τὰ γράμματα τὰ ἔχοντα κάτωθεν αὐτῶν στιγμὰς θὰ ἔχωμεν τὴν ἐπιστολὴν

ἀποστείλατε ἄνδρας.

***

Καταπληκτικὴ θεωρεῖται ἡ ἐπινόησις, τοῦ κατὰ τὴν νύκτα λειτουργοῦντος ὀπτικοῦ τηλεγράφου, ὑπὸ τῶν Ἑλλήνων τῆς Ἀλεξανδρείας **Κλεοξένου** καὶ **Δημοκλείτου**, περὶ τὸν 4ον αἰ. π. Χ. μνημονευομένη ὑπὸ τοῦ Πολυβίου (Χ 45.6).

Εἰς τὸν σταθμὸν ἐκπομπῆς, ἀπέχοντα τοῦ σταθμοῦ λήψεως 20—30 χιλιόμετρα, ἐκτίζοντο εἰς σχῆμα μαιάνδρου δύο τοῖχοι ἐπὶ εὐθείας παραλλήλου πρὸς τὸν σταθμὸν λήψεως, ἀπέχοντες ὁ εἷς τοῦ ἄλλου ὀλίγα μέτρα (σχ. 5). Τὸ γεῖσον ἑκάστου τοίχου εἶχε κατασκευασθῆ μὲ ἓξ ἐξοχὰς καὶ πέντε κοιλότητας. Τὸ πλάτος ἑκάστης κοιλότητος ἦτο περίπου 1 μ. Ὁ πρὸς τὰ ἀριστερὰ τοῖχος τοῦ σταθμοῦ ἐκπομπῆς (διά παρατηρητὴν εὑρισκόμενον εἰς τὸν σταθμὸν λήψεως) ὀνομάζεται σταθμὸς ὁμάδων, ἐν ᾧ ὁ πρὸς τὰ δεξιὰ τοῖχος ὀνομάζεται σταθμὸς γραμμάτων. Διὰ διόπτρας ἀνεγνωρίζετο εἰς ποῖον ἐκ τῶν δύο τοίχων ἐγένοντο τὰ φωτεινὰ σήματα. Εἰς ἑκάστην κοιλότητα εἶναι δυνατὸν νὰ ἀνάπτεται πυρσός, δηλ. μεγάλη φωτιά, ὕψους ὀλίγων μέτρων, καὶ διαρκείας μικροῦ τινος χρόνου. Τὰ 24 γράμματα τοῦ ἀλφαβήτου διῃροῦντο εἰς πέντε ὁμάδας, ἐκ τῶν ὁποίων αἱ πρῶται τέσσαρες εἶχον ἀνὰ πέντε γράμματα, ἐν ᾧ ἡ πέμπτη ὁμὰς εἶχε τέσσαρα. Τὰ οὕτω πως κατανεμηθέντα γράμματα ἐγράφοντο εἰς πέντε ὁριζοντίας σειράς, τῶν ὁποίων ἡ μία ἦτο κάτωθεν τῆς ἄλλης. Εἰς τοιοῦτο σχῆμα γραφῆς ἔχομεν πέντε ὁριζοντίας σειρὰς καὶ πέντε καθέτους στήλας δηλ. εὐθείας τετμημένας και κατηγμένας (ἢ τεταγμένας) ὡς ἑξῆς:

Ὁμάδες γραμμάτων	Στῆλαι γραμμάτων				
	1	2	3	4	5
1. Ὁμάς πρώτη	α	β	γ	δ	ε
2. Ὁμὰς δευτέρα	ζ	η	θ	ι	κ
3. Ὁμὰς τρίτη	λ	μ	ν	ξ	ο
4. Ὁμὰς τετάρτη	π	ρ	σ	τ	υ
5. Ὁμὰς πέμπτη	φ	χ	ψ	ω	

Ἔστω ὅτι πρόκειται νὰ σταλῇ τὸ ἑξῆς τηλεγράφημα: «Ἐχθρὸς ἐν ὄψει». Τὸ γράμμα ε ἀνήκει εἰς τὴν πρώτην ὁμάδα. Ἀνάπτεται πυρσὸς εἰς τὴν πρώτην κοιλότητα τοῦ πρὸς τὰ ἀριστερὰ τοίχου. Ἀνήκει ὅμως τὸ γράμμα ε εἰς τὴν πέμπτην στήλην. Ἀνάπτονται ἐν συνεχείᾳ πυρσοὶ εἰς τὰς πέντε κοιλότητας τοῦ πρὸς τὰ δεξιὰ τοίχου. Εἰς τὸν σταθμὸν λήψε-



Σχ. 5.

ως σημειοῦται τὸ γράμμα ε. Διὰ τὸ γράμμα χ, τὸ ὁποῖον ἀνήκει εἰς τὴν πέμπτην ὁμάδα ἀνάπτονται καὶ εἰς τὰς πέντε κοιλότητας τοῦ πρὸς τὰ ἀριστερὰ τοίχου, πέντε πυρσοί. Ἀνήκει ὅμως τὸ γράμμα χ εἰς τὴν δευτέραν στήλην γραμμάτων. Ἀνάπτονται ἐν συνεχείᾳ δύο πυρσοί, εἰς τὰς δύο πρώτας κοιλότητας τοῦ πρὸς τὰ δεξιὰ τοίχου (δεξιὰ τοῦ παρατηρητοῦ τοῦ σταθμοῦ λήψεως). Εἰς τὸν σταθμὸν λήψεως σημειοῦται μετὰ τὸ γράμμα ε τὸ γράμμα χ, καὶ οὕτω καθ' ἑξῆς.

Πρὸς ἀσφάλειαν, διὰ τὴν περίπτωσιν κλοπῆς τοῦ κώδικος αὐτοῦ ἦτο δυνατὸν νὰ μεταβληθῇ ὁ ἀριθμὸς τῶν ὁμάδων καὶ τῶν στηλῶν γραμμάτων, νὰ εἶναι π.χ. 8 ὁμάδες, ἐκ τριῶν γραμμάτων ἑκάστη, τὰ δὲ γράμματα νὰ γράφωνται ἐκ δεξιῶν πρὸς τὰ ἀριστερά.

Εἶναι εὐνόητον ὅτι ἡ μεταβολὴ τοῦ κώδικος πρέπει νὰ εἶναι γνωστὴ καὶ εἰς τοὺς δύο σταθμοὺς (ἐκπομπῆς—λήψεως), ὅπως τοῦτο γίνεται καὶ σήμερον εἰς παρομοίας περιπτώσεις.

Εἶναι ἐνδιαφέρον τέλος νά μνημονευθῇ, ὅτι ὁ ἀθλητὴς Ταυροσθένης ἀναχωρῶν ἐκ τῆς πατρίδος του Αἰγίνης διὰ τὴν Ὀλυμπίαν, ἵνα μετάσχῃ τῶν Ὀλυμπιακῶν ἀγώνων, περὶ τὸ 500 π.Χ., παρέλαβε μεθ' ἑαυτοῦ περιστεράν, ἡ ὁποία ἔτρεφε νεοσσούς. Ὅταν ἐνίκησεν εἰς τοὺς ἀγῶνας ἄφησεν ἐλευθέραν τὴν περιστεράν, ἡ ὁποία φέρουσα εἰς ἕνα ἐκ τῶν ποδῶν της ἐρυθρὰν ταινίαν, τὸ σύμβολον τῆς νίκης, ἔφθασεν ἐντὸς μιᾶς περίπου ὥρας ἐκ τῆς Ὀλυμπίας εἰς τὴν Αἴγιναν. Κατ' ἄλλην παράδοσιν ἡ πληροφορία τῆς νίκης τοῦ Ταυροσθένους μετεδόθη εἰς τὴν Αἴγιναν ἐκ τῆς Ὀλυμπίας διὰ πυρσῶν (Αἰλιανός, Ποικίλη Ἱστορία 9,2).

Διὰ τοὺς ἀσχολουμένους μὲ τὴν θεωρίαν τῶν Πιθανοτήτων καὶ τῶν Συνδυασμῶν ἀναφέρομεν ὅτι ἡ πιθανότης ἀποκρυπτογραφήσεως ἑνὸς κώδικος εἶναι ἐλαχίστη, ὄχι ὅμως ἀδύνατος. Κατὰ τὴν ἀρχὴν τοῦ δευτέρου παγκοσμίου πολέμου οἱ Μαθηματικοὶ τοῦ Κέντρου Ἐρευνῶν τῶν Ἀμερικανικῶν Ἐνόπλων Δυνάμεων κατώρθωσαν νὰ ἀποκρυπτογραφήσουν διὰ πολλῶν δοκιμῶν, στηριζομένων εἰς τὴν θεωρίαν τῶν Πιθανοτήτων καὶ τῶν Συνδυασμῶν, τὸν μυστικὸν κώδικα τοῦ Ἰαπωνικοῦ Ναυαρχείου.

Τὰ γράμματα τῶν κατωτέρω λέξεων ἔχουν γραφῇ ὅπως θὰ ἐγράφοντο εἰς τὸ δίπτυχον καὶ διαβάζονται ὀρθῶς διὰ κατόπτρου.

VIΣXΓVOΣ	ΣΟΦΟΚVΗΣ	ΕΓΡΙΠΙVΗΣ
ΕΓΚVΕΙVΗΣ	ΙΚΤΙИΟΣ	ΕΓVΟΞΟΣ
VΗMΟΚΡΙΤΟΣ	ΠVVΤΩИ	VΠΟVVΩИΙΟΣ
ΒΕVVΕΡΕΦΟИΤΗΣ	VΡΙΣΤΟΤΕVΗΣ	ΠΙИVΡΟΣ
MΕΓVΣ VVΕΞVИVΡΟΣ	ΠΟVΓΚVΕΙΤΟΣ	ΘVVΗΣ
ΠΕΡΙΚVΗΣ	ΦΕΙVΙVΣ	ΟMΗΡΟΣ
VΧΙVVΕΓΣ	VΓVMΕMИΩИ	ΣΩΚΡVΤΗΣ
VΡΧΙMΗVΗΣ	ΠΓΘVΓΟΡVΣ	VΡΙΣΤVΡΧΟΣ

ΒΙΒΛΙΟΓΡΑΦΙΑ:

Αἰνείου Πολιορκητικά, Énée le Tacticien Poliorcétique, Les Belles Lettres, Paris 1967.
Hermann Diels, Antike Technik, Otto Zeller, Osnabrück 1965⁴.
Pauly — Wissowa R.E.

EVCLIDIS

ELEMENTA

VOL. I

LIBRI I–IV CVM APPENDICIBVS

POST

I. L. HEIBERG

EDIDIT

E. S. STAMATIS

LEIPZIG

BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1969

DEUTSCHE AKADEMIE DER WISSENSCHAFTEN
ZU BERLIN
INSTITUT FÜR
GRIECHISCH-RÖMISCHE ALTERTUMSKUNDE

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

LEIPZIG

BSB B.G.TEUBNER VERLAGSGESELLSCHAFT
1969

HOC VOLVMINE CONTINENTVR

PRAEFATIO

Elementa Euclidis paene per tria saecula pro fundamento critico solam editionem principem habuerunt, quae prodiit Basileae a. 1533; nam Gregorius in elementis totus fere ab illa editione pendet. quod fundamentum quale fuerit, inde intellegitur, quod editio Basileensis pro consuetudine illius temporis ad fidem paucissimorum nec optimorum codicum facta est, cum tamen elementorum tot exstent codices antiquissimi et praestantissimi, quot haud facile cuiusquam scriptoris Graeci. itaque initio nostri saeculi Peyrardus optime de elementis meritus est, quod unum saltem codicem antiquum et eum omnium praestantissimum, quippe qui recensionem Theone antiquiorem contineret, in editione Basileensi emendanda adhibuit. hunc codicem e latebris Vaticanis protraxisse praestantiamque eius agnovisse, gloria est Peyrardi haud parvi aestimanda. sed neque ubique recto firmoque indicio in vera scriptura eligenda usus est, in primis quia bonis codicibus recensionis Theonis caruit, neque inventum suum tenuit recteque aestimavit. huc accedit, quod editio eius et inhabilis et his temporibus perrara est; nec ii, qui post Peyrardum elementa ediderunt, subsidia critica auxerunt neque omnino rem ita egerunt, ut textus elementorum satis certo et ad usum prompto fundamento niti videri possit. de ceteris scriptis Euclidis multo etiam peius actum esse satis constat.

Quae cum a multis intellegi viderem, Archimedi Euclidem adiungere constitui, et ut hunc laborem, quem iam diu animo volvebam, tandem aliquando susciperem, eo magis impellebar, quod editionem Archimedis ab hominibus doctis benevolenter accipi, et erroribus, quos in primitiis illis vitare non potuissem, indulgeri videbam, et usu edoctum me iam meliora praestare posse sperabam.

Sed statim apparuit neque res rationesque neque vires meas toti operi, quod mihi proposueram, sufficere. tot codices conferendi erant, tot bibliothecae itineribus longinquis adeundae. itaque Henricum Menge, v. d., quem sciebam et ipsum in Euclide occupatum esse, interrogavi velletne partem operis suscipere. annuit, et ita inter nos comparatum est, ut ille Data, Phaenomena, scripta musica, ego Elementa, Optica, Catoptrica ederem, et ut codices coniuncta opera conferremus. sed sic quoque in elementis e magna copia subsidiorum pauca eligere coactus sum. nam cum vix ulla sit minima bibliotheca, in qua non asservetur codex aliquis elementorum, inde ab initio de omnibus codicibus conferendis aut certe inspiciendis desperandum erat. vellem equidem licuisset pluribus codicibus uti, sed ut aliquo tamen modo paucis, quos contuli, contenti esse possimus, facit et singularis ratio, qua nobis tradita sunt elementa Euclidis, et vetustas et bonitas codicum a me usurpatorum. nam satis notum est, plerosque omnes codices e recensione Theonis fluxisse, et Vaticanum Peyrardi solum fere antiquiorem formam servasse. quem fructum ex hoc casu singulari capere liceat, et quam rationem critices factitandae inde sequi putem, pluribus exposui in libro, qui inscribitur Studien über Euklid p. 177sq. hoc quidem statim apparuit, primum omnium codicem Vaticanum, e quo Peyrardus ea sola enotaverat, quae ei memorabilia videbantur, quamvis ipse aliter praedicet, denuo diligenter esse conferendum et praeterea ex reliquis codicibus tantum numerum, ut veri similiter de scriptura Theonis iudicari posset. qua in re codices Bodleianum, Laurentianum, Vindobonensem sufficere putavi, praesertim cum animadverterem, eos a palimpsesto codice saeculi VII vel VIII, qui in Museo Britannico asservatur, non admodum discrepare. hos codices pro fundamento habui, sed ad eos in partibus quibusdam operis alii accesserunt et, ut spero, accedent, velut in hoc primo volumine Parisinus quidam et in primo libro Bononiensis. hunc ne totum conferrem, prohibuerunt temporis angustiae, sed spes mihi est, me brevi partem reliquam conferre posse; nam in libris stereometricis hic codex maximi momenti est. de ceteris subsidiis novis, sicut de codicibus operum minorum, in praefationibus singulorum voluminum dicetur.

Confiteor igitur fieri posse, ut inter codices nondum collatos lateat thesaurus aliquis (neque enim omnes recentiores sunt nec recentiores semper spernendi), qui mea subsidia vel aequet vel etiam superet. sed cum non maxime sit veri simile, haec, qualiacumque sunt, nunc edere malui, quam opus in infinitum differre.

De consilio meo satis dictum. de forma ac specie editionis sufficit commemorare, eandem me secutum esse quam in Archimede edendo. nam quamquam videbam, Latinam interpretationem meam a nonnullis improbari, tamen hic quoque Latinam Francogallicae Germanaeve aut nulli praetuli; nam interpretationem mathematici flagitant, et Latina a pluribus legi potest. praeterea res ipsae tritiores interpretandi molestiam leviorem reddunt in Euclide quam in Archimede. notas perpaucas addidi, quia perpaucis in Euclide discentibus consulenti opus est, si solam intellegentiam verborum tenorisque demonstrationis spectes. nam commentarium, cuius hic quoque ingens est materia, scribere nolui. quarto volumini copiosiora prolegomena praemittentur, quibus historia textus elementorum illustrabitur. eodem congeram, quae de subsidiis deterioribus collegi; nam perspicuitatis causa ea ab apparatu critico removenda erant, in quo iis tantum codicibus usus sum, quos supra commemoravi. eos his litteris significavi:

P cod. Vatican. Gr. 190 Peyrardi saec. X, membran. hic illic manus recentissima litteras tempore evanidas renovavit, quam littera π significavi, ubi parum recte scripturam antiquam reddere videbatur. libros IV–IX ipse contuli Romae 1881, librum II et partem tertii Mengius; primum et reliquam partem tertii Augustus Mau v. d. benevolenter conferenda suscepit.

B cod. Bodleian. Dorvillian. X, 1 inf. 2, 30, scr. a. 888, membran. libros I–VII ipse contuli Oxoniae 1882.

F cod. Florentin. Laurentian. XXVIII, 3 saec. X, membran. in hoc quoque codice scriptura antiqua saepe manu saeculi XVI renovata est, quae eadem multa folia foliorumve partes resarcinavit et ultimam partem codicis totam supplevit. eam significavi littera φ, ubicumque antiquam scripturam vel vitiavit vel ita obscuravit, ut dignosci non posset. totum codicem ipse contuli Florentiae 1881.

V cod. Vindobon. Gr. 103 saec. XI–XII, membran. partem ultimam in charta bombycina supplevit manus saeculi XIII. totum contuli ipse Hauniae 1880.

b cod. bibliothecae communalis Bononiensis numeris 18–19 signat., saec. XI, membran. librum I contuli et alios nonnullos locos inspexi Florentiae 1881.

p cod. Parisin. Gr. 2466 saec. XII, membran. librum I contuli Parisiis 1880, libros II–VII Hauniae 1882.

Restat, ut grato officio fungar iis viris gratias quam maximas agendi, qui labori meo faverunt. primum ut itinera Parisios et in Italiam toties facere possem, effectum est eximia liberalitate summi Ministerii, quod cultui scholisque nostris praeest, et instituti Carlsbergici, litteras scientiamque largiter adiuvantis. etiam praefectis bibliothecarum Vindobonensis, Parisinae, Bononiensis plurimum debeo, quod codices a se asservatos meum in usum alio transmitti siverunt, item praefectis bibliothecae regiae Hauniensis et bibliothecae Laurentianae, quibus intercedentibus hunc favorem adeptus sum. Carolo Graux, quocum magnam partem itineris Italici a. 1881 communiter feci, et qui me in codicum aetatibus definiendis ceterisque rebus palaeographicis, in quibus cedebat nemini, egregie adiuvabat, quominus hoc loco gratias debitas agerem, prohibuit fatum nobis amicis eius superstitibus scientiaeque iniquissimum.

Scr. Hauniae mense Aprili MDCCCLXXXIII

I. L. Heiberg

ADDITAMENTVM PRAEFATIONIS

Nemo ex viris antiquae geometriae peritis est quin putet nova editione Euclidis Elementorum in praesenti opus esse. exemplaria enim praeclarae editionis Heibergianae iamdudum divendita sunt, studia autem ad Elementa pertinentia nostra aetate admodum increverunt.

Qua de re cum a bibliopola honestissimo, hortatu Instituti scientiae antiquitatis Graecoromanae, quod auctoritate Academiae Scientiarum Germanicae Berolinensis constitutum est, invitatus essem, ut novam Euclidis Elementorum editionem curarem, gratissimo animo hoc negotium suscepi. nam multos studiosos scientiae mathematicae, qui Graece sciunt, Euclidianum textum desiderare cognovi.

Valde autem mihi consilium bibliopolae honestissimi placuit, qui mihi suasit, ut translationem Latinam qua Heiberg editionem suam instruxerat omitterem, quo nova editio brevior in lucem prodiret. patet enim linguae Graecae peritos Latina translatione non nimis egere. quae cum ita sint, ratio novae editionis, ita ut infra indicatur, ordinata est:

Textui primi voluminis praemittenda, quae de Elementis et de vita Euclidis et de principiis primordiisque geometriae tradita sunt, existimavi. annexui continuo tres indices. tertio loco conspectum, in quo praestantissimae Euclidis Elementorum editiones memorantur, adiunxi.

PRAEFATIO

Quod ad textum attinet Heibergianae editionis vestigia ingredi statui. nam inter omnes viros doctos Heiberg optime de Euclidis Elementis meritum esse constat. neque enim post obitum eius codices novi, praeter quos ille inspexerat, collati sunt, neque seges papyrorum nobis novas lectiones praebuit. ipse autem editionis Heibergianae perfectionem absolutionemque perspexi, cum meam Euclidis Elementorum editionem, quae annis 1952–1957 Athenis impressa est, absolverem.

Inferiorem paginarum marginem hoc modo disposui: notas ab Heiberg textui suae translationis Latinae insertas in superiorem locum transtuli, primo et ultimo Graeco vocabulo sententiae ad quam pertineant designato numeroque versus memorato. ibidem etiam testimonia ad eandem translationem spectantia eodem modo collocavi. adiunxi deinde reliqua testimonia ad propositiones spectantia, quae numeris Graecis significavi, et varias lectiones ex editione Heibergiana.

Varia additamenta in calce uniuscuiusque voluminis collocanda censui.

Restat, ut gratias maximas agam Iohannes Irmscher, quod non solum in hac editione curanda consilio me adiuvit, verum etiam auctor fuit, ut editio ipsa a bibliopola honestissimo mihi committeretur.

Scribebam Athenis mense Septembri MCMLXI

E. S. Stamatis

TESTIMONIA

DE EVCLIDIS ELEMENTORVM ET VITAE MEMORIA

1. Archimedes (ed. I. L. Heiberg, Lipsiae 1910–15), De sphaera et cylindro, I p. 12, 3:

κείσθω διὰ τὸ β′ τοῦ α′ τῶν Εὐκλείδου.

2. – – I p. 20, 10–16:

φανερὸν δὲ καὶ τοῦτο, ὅτι, ἐὰν δοθῇ κύκλος ἢ τομεὺς καὶ χωρίον τι, δυνατόν ἐστιν ἐγγράφοντα εἰς τὸν κύκλον ἢ τὸν τομέα πολύγωνα ἰσόπλευρα καὶ ἔτι ἀεὶ εἰς τὰ περιλειπόμενα τμήματα λείπειν τινὰ τμήματα τοῦ κύκλου ἢ τομέως, ἅπερ ἔσται ἐλάσσονα τοῦ προκειμένου χωρίου· ταῦτα γὰρ ἐν τῇ Στοιχειώσει (Elem. 12, 2) *παραδέδοται.*

3. – De conoid. et sphaeroid., I p. 270, 24:

ἀποδέδεικται δὲ τοῦτο ἐν τοῖς κωνικοῖς στοιχείοις (sc. Euclidis).

4. – Quadratura parabola, II p. 268, 3:

ἀποδέδεικται δὲ ταῦτα ἐν τοῖς κωνικοῖς στοιχείοις (sc. Euclidis).

5. – De corpor. fluitant., II p. 350, 21:

δέδεικται γὰρ τοῦτο ἐν τοῖς στοιχείοις τῶν μηχανικῶν (sc. Euclidis).

6. – Ad Eratosth. methodus, II p. 436, 3:

τοῦτο γὰρ ἐν τοῖς στοιχείοις δείκνυται (sc. Euclidis).

7. – – p. 444, 27:
τὸ διὰ τοῦ ἄξονος τρίγωνον | τὸ ΑΒΔ, ὡς ἐν τοῖς Στοιχείοις (sc. Euclidis).

8. Pappus Alexandrinus (ed. Fr. Hultsch, Berolini 1876 u. ad 1878) I p. 178, 11:
καὶ ἔστι τοῦτο (sc. theorema Pappi) *καθολικώτερον πολλῷ τοῦ ἐν τοῖς ὀρθογωνίοις ἐπὶ τῶν τετραγώνων ἐν τοῖς στοιχείοις δεδειγμένου* (Elem. 1, 47).

9. – I p. 250, 31:
τοῦτο γὰρ δῆλον ἐκ τῶν στοιχείων.

10. – I p. 314, 8:
δυνατὸν ἄρα ἐστὶν ἀκολούθως τῇ ἀγωγῇ τῇ ἐν τῷ δωδεκάτῳ τῶν στοιχείων ἐγγράψαι εἰς τὸν ΑΒΓΔ κύκλον πολύγωνον (Elem. 12, 2).

11. – I p. 338, 4:
[*ιε' τοῦ ε' στοιχείων*].

12. – I p. 358, 25–28:
ὅτι δὲ πλείω τῶν ε' τούτων (sc. polyedrorum quae Platonica vocantur) *ἀδύνατόν ἐστιν εὑρεῖν . . . καὶ ὑπὸ τοῦ Εὐκλείδου καὶ ὑπό τινων ἄλλων ἀποδέδεικται* (Elem. 13 extremo).

13. – I p. 376, 21:
ὡς ἔστιν δευτέρῳ στοιχείων.

14. – I p. 378, 8:
διὰ τὸ γ' τοῦ β' στοιχείων.

15. – I p. 380, 14:
διὰ τὸ γ' θεώρημα τοῦ β' στοιχείων.

16. – I p. 414, 7:
ἐπεὶ γὰρ ἐδείχθη ἐν τῷ ὀκταέδρῳ ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει διπλασία ἐστὶν τῆς τοῦ ὀκταέδρου πλευρᾶς· (Elem. 13, 14).

17. – I p. 414, 11:

διὰ τὸ ιβ' τοῦ ιγ' στοιχείων

18. – I p. 414, 20:

ἡ ΕΖ ἄρα ἐκ κέντρου ἐστὶν τῆς περιλαμβανούσης τὸ ὀκτάεδρον σφαίρας, ὡς ἐν τοῖς στοιχείοις (Elem. 13, 14).

19. – I p. 420, 7:

ὡς ἔστιν στοιχείοις δ' τοῦ τρισκαιδεκάτου θεωρήματι.

20. – I p. 420, 11:

ὡς ἔστιν στοιχείοις τὸ γ' θεώρημα τοῦ β'.

21. – I p. 420, 19:

διὰ τὸ αὐτὸ γ' τοῦ β' στοιχείων θεώρημα.

22. – I p. 422, 34:

ἐκκείσθω κύκλος ὁ ΑΒΓ ὁ δεχόμενος τὸ πεντάγωνον τοῦ εἰκοσαέδρου, ὡς ἐν στοιχείοις (Elem. 13, 16).

23. – I p. 424, 2:

αὕτη δέ ἐστιν ἡ τοῦ εἰκοσαέδρου πλευρά, ὡς ἐν τοῖς στοιχείοις.

24. – I p. 424, 7:

ὡς ἐν τοῖς στοιχείοις ις' θεώρημα τοῦ ιγ'.

25. – I p. 424, 10:

διὰ τὸ ι' θεώρημα τοῦ ιγ' (sc. *στοιχείων*).

26. – I p. 424, 16:

ταῦτα γὰρ ἐν τοῖς στερεοῖς τῶν στοιχείων ἐδείχθη.

27. – I p. 428, 21:

διὰ τὸ η' θεώρημα τοῦ β' στοιχείων.

28. – I p. 430, 27:

διὰ τὸ β' θεώρημα τοῦ ιγ' στοιχείων.

29. – I p. 432, 23:

τοῦτο γὰρ δείκνυται διὰ τοῦ α' τοῦ ϛ' στοιχείων.

30. – I p. 436, 2:

ὡς ἔστιν ἐν τῷ ιγ' τῶν στοιχείων ἐπὶ τοῦ κύβου (prop. 15).

31. – I p. 438, 8:

ὡς ἔστιν ἐν τῷ ιγ' βιβλίῳ στοιχείων.

32. – I p. 438, 19:

δέδεικται γὰρ ἐν τῷ ιγ' στοιχείων καὶ τοῦτο.

33. – I p. 440, 6:

τοῦτο γὰρ ἐδείχθη ιγ' στοιχείων.

34. – I p. 440, 13:

ἡ γὰρ τοῦ πενταγώνου πλευρὰ δύναται τήν τε τοῦ ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων, ὡς ἔστιν ιγ' στοιχείων.

35. – I p. 440, 16:

ἐκκείσθω δὴ καὶ ἡ τῆς σφαίρας διάμετρος ἡ AB καὶ εὐθεῖά τις ἡ MN, ὥστε πενταπλάσιον εἶναι τὸ ἀπὸ AB τοῦ ἀπὸ MN, ὡς ἔστιν λῆμμα ιγ' στοιχείων (prop. 2).

36. – I p. 440, 19:

ἔστιν δὲ καὶ ἡ τῆς σφαίρας διάμετρος δυνάμει πενταπλασία τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου ἀφ' οὗ τὸ εἰκοσάεδρον, ὡς ἔστιν ιγ' στοιχείων (prop. 16, *πόρισμα*).

37. – I p. 442, 8:

ὡς ἔστιν ιγ' στοιχείων.

38. – I p. 456, 17:

διὰ τὸ ιβ' τοῦ ιγ' στοιχείων.

39. – I p. 468, 1:

ὡς ἔστιν ἐν τῷ ιγ' τῶν στοιχείων.

40. – II p. 676, 25–678, 12 (vita):

ὁ δὲ Εὐκλείδης ἀποδεχόμενος τὸν Ἀρισταῖον (sc. *πρεσβύτερον*) *ἄξιον ὄντα ἐφ' οἷς ἤδη παραδεδώκει κωνικοῖς, . . ., ἐπιεικέστατος ὢν καὶ πρὸς ἅπαντας εὐμενὴς τοὺς κατὰ ποσὸν συναύξειν δυναμένους τὰ μαθήματα, ὡς δεῖ, καὶ μηδαμῶς προσκρουστικὸς ὑπάρχων, καὶ ἀκριβὴς μὲν οὐκ ἀλαζονικὸς δὲ καθάπερ οὗτος* (sc. Apollonius), . . . *καὶ συσχολάσας* (sc. Apollonius) *τοῖς ὑπὸ Εὐκλείδου μαθηταῖς ἐν Ἀλεξανδρείᾳ πλεῖστον χρόνον, ὅθεν ἔσχεν καὶ τὴν τοιαύτην ἕξιν οὐκ ἀμαθῆ.*

41. – II p. 988, 10:

διὰ ἄρα τὸ ια' (prop. 5) *στοιχείων ἐν ἑνί εἰσιν ἐπιπέδῳ αἱ ΑΒ ΒΕ ΒΓ εὐθεῖαι.*

42. – III p. 1100, 15:

διὰ τὸ κ' τοῦ ς' (sc. *στοιχείων*).

43. – III p. 1106, 23:

τοῦτο γὰρ πρῶτόν ἐστιν ἐν τῷ ς' λαμβανόμενον (sc. *στοιχείων*).

44. Ioannes Philoponus, De aeternitate mundi (ed. H. Rabe, Lipsiae 1899), p. 187, 18–188, 2:

καὶ τὸν μὲν κύκλον, ἐπειδὴ ἁπλούστερον ἦν, ὡρίσατο Εὐκλείδης σχῆμα ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν πᾶσαι αἱ ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν (Elem. 1, def. 15), *τὴν δὲ σφαῖραν θέλων δεῖξαι ὡς ἂν γινομένην ὡρίσατο ἡμικύκλιον διαμέτρου μενούσης περιφερόμενον, ἕως ἂν ἐπὶ τὰ αὐτὰ σημεῖα ἀποκατασταθῇ* (Elem. 11, def. 14).

45. Ioannes Stobaeus (rec. C. Wachsmuth, O. Hense, Berolini 1884, reimp. 1958) II p. 228, 25–29:

Παρ' Εὐκλείδῃ τις ἀρξάμενος γεωμετρεῖν, ὡς τὸ πρῶτον θεώρημα ἔμαθεν, ἤρετο τὸν Εὐκλείδην „τί δέ μοι πλέον ἔσται ταῦτα μανθάνοντι;" · καὶ ὁ Εὐκλείδης τὸν παῖδα καλέσας „δός“, ἔφη, „αὐτῷ τριώβολον, ἐπειδὴ δεῖ αὐτῷ ἐξ ὧν μανθάνει κερδαίνειν“.

46. Anthol. Pal. (ed. F. Dübner, E. Cougny, Parisiis 1871 u. ad 1890) III, VII, 2:

ΕΥΚΛΕΙΔΟΥ

Ἡμίονος καὶ ὄνος φορέουσαι σῖτον ἔβαινον·
αὐτὰρ ὄνος στενάχιζεν ἐπ᾽ ἄχθεϊ φόρτου ἑοῖο·
τὴν δὲ βαρυστενάχουσαν ἰδοῦσ᾽ ἐρέεινεν ἐκείνη·
μῆτερ, τί κλαίουσ᾽ ὀλοφύρεαι, ἠύτε κούρη;
„εἰ μέτρον ἕν μοι δοίης, διπλάσιον σέθεν ἦρα·
εἰ δὲ ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις“.
εἰπὲ τὸ μέτρον, ἄριστε γεωμετρίης ἐπίστορ.

DE PRINCIPIORVM GEOMETRIAE MEMORIA

47. Plato, Res publica 6, 510 C–511 A:

Οἶμαι γάρ σε εἰδέναι, ὅτι οἱ περὶ τὰς γεωμετρίας τε καὶ λογισμοὺς καὶ τὰ τοιαῦτα πραγματευόμενοι, ὑποθέμενοι τό τε περιττὸν καὶ τὸ ἄρτιον καὶ τὰ σχήματα καὶ γωνιῶν τριττὰ εἴδη καὶ ἄλλα τούτων ἀδελφὰ καθ᾽ ἑκάστην μέθοδον, ταῦτα μὲν ὡς εἰδότες, ποιησάμενοι ὑποθέσεις αὐτά, οὐδένα λόγον οὔτε αὑτοῖς οὔτε ἄλλοις ἔτι ἀξιοῦσι περὶ αὐτῶν διδόναι ὡς παντὶ φανερῶν, ἐκ τούτων δ᾽ ἀρχόμενοι τὰ λοιπὰ ἤδη διεξιόντες τελευτῶσιν ὁμολογουμένως ἐπὶ τοῦτο, οὗ ἂν ἐπὶ σκέψιν ὁρμήσωσιν. Πάνυ μὲν οὖν, ἔφη, τοῦτό γε οἶδα. Οὐκοῦν καὶ ὅτι τοῖς ὁρωμένοις εἴδεσι προσχρῶνται καὶ τοὺς λόγους περὶ αὐτῶν ποιοῦνται, οὐ περὶ τούτων διανοούμενοι, ἀλλ᾽ ἐκείνων πέρι, οἷς ταῦτα ἔοικε, τοῦ τετραγώνου αὐτοῦ ἕνεκα τοὺς λόγους ποιούμενοι καὶ διαμέτρου αὐτῆς, ἀλλ᾽ οὐ ταύτης ἣν γράφουσι, καὶ τἆλλα οὕτως, αὐτὰ μὲν ταῦτα, ἃ πλάττουσί τε καὶ γράφουσιν, ὧν καὶ σκιαὶ καὶ ἐν ὕδασιν εἰκόνες εἰσί, τούτοις μὲν ὡς εἰκόσιν αὖ χρώμενοι, ζητοῦντές τε αὐτὰ ἐκεῖνα ἰδεῖν, ἃ οὐκ ἂν ἄλλως ἴδοι τις ἢ τῇ διανοίᾳ.

48. – – 6, 511 C–D:

Μανθάνω, ἔφη, ἱκανῶς μὲν οὔ – δοκεῖς γάρ μοι συχνὸν ἔργον λέγειν – ὅτι μέντοι βούλει διορίζειν σαφέστερον εἶναι τὸ ὑπὸ τῆς τοῦ διαλέγεσθαι ἐπιστήμης τοῦ ὄντος τε καὶ νοητοῦ θεωρούμενον ἢ τὸ ὑπὸ τῶν τεχνῶν καλουμένων, αἷς αἱ ὑποθέσεις ἀρχαὶ καὶ διανοίᾳ μὲν ἀναγκάζονται ἀλλὰ μὴ αἰσθήσεσιν αὐτὰ θεᾶσθαι οἱ θεώμενοι, διὰ δὲ τὸ μὴ ἐπ' ἀρχὴν ἀνελθόντες σκοπεῖν, ἀλλ' ἐξ ὑποθέσεων, νοῦν οὐκ ἴσχειν περὶ αὐτὰ δοκοῦσί σοι, καίτοι νοητῶν ὄντων μετὰ ἀρχῆς. διάνοιαν δὲ καλεῖν μοι δοκεῖς τὴν τῶν γεωμετρικῶν τε καὶ τὴν τῶν τοιούτων ἕξιν ἀλλ' οὐ νοῦν, ὡς μεταξύ τι δόξης τε καὶ νοῦ τὴν διάνοιαν οὖσαν. Ἱκανώτατα, ἦν δ' ἐγώ, ἀπεδέξω.

49. – – 7, 526 D–E:

Ἀλλ' οὖν δή, εἶπον, πρὸς μὲν τὰ τοιαῦτα βραχύ τι ἂν ἐξαρκοῖ γεωμετρίας τε καὶ λογισμῶν μόριον (sc. *πρὸς τὰς στρατοπεδεύσεις καὶ καταλήψεις χωρίων . . .*)· *τὸ δὲ πολὺ αὐτῆς* (sc. geometriae) *καὶ πορρωτέρω προϊὸν σκοπεῖσθαι δεῖ, εἴ τι πρὸς ἐκεῖνο τείνει, πρὸς τὸ ποιεῖν κατιδεῖν ῥᾷον τὴν τοῦ ἀγαθοῦ ἰδέαν.*

50. – – 7, 528 A–B:

νῦν δὴ γὰρ οὐκ ὀρθῶς τὸ ἑξῆς ἐλάβομεν τῇ γεωμετρίᾳ . . . μετὰ ἐπίπεδον, ἦν δ' ἐγώ, ἐν περιφορᾷ ὂν ἤδη στερεὸν λαβόντες, πρὶν αὐτὸ καθ' αὑτὸ λαβεῖν· ὀρθῶς δὲ ἔχει ἑξῆς μετὰ δευτέραν αὔξην τρίτην λαμβάνειν. ἔστι δέ που τοῦτο περὶ τὴν τῶν κύβων αὔξην καὶ τὸ βάθους μετέχον (sc. stereometria).

51. – Epinomis 990 C–E:

διὸ μαθημάτων δέον ἂν εἴη· τὸ δὲ μέγιστόν τε καὶ πρῶτον καὶ ἀριθμῶν αὐτῶν ἀλλ' οὐ σώματα ἐχόντων, ἀλλὰ ὅλης τῆς τοῦ περιττοῦ τε καὶ ἀρτίου γενέσεώς τε καὶ δυνάμεως, ὅσην παρέχεται πρὸς τὴν τῶν ὄντων φύσιν. ταῦτα δὲ μαθόντι τούτοις ἐφεξῆς ἐστιν ὃ καλοῦσι *μὲν σφόδρα γελοῖον ὄνομα γεωμετρίαν, τῶν οὐκ ὄντων δὲ ὁμοίων ἀλλήλοις φύσει ἀριθμῶν ὁμοίωσις πρὸς τὴν τῶν ἐπιπέδων μοῖραν γεγονυῖά ἐστιν διαφανής· ὃ δὴ θαῦμα οὐκ ἀνθρώπινον ἀλλὰ γεγονὸς θεῖον φανερὸν ἂν γίγνοιτο τῷ δυναμένῳ συννοεῖν. μετὰ δὲ ταύτην τοὺς τρὶς ηὐξημένους καὶ τῇ στερεᾷ φύσει ὁμοίους, τοὺς δὲ ἀνομοίους αὖ γεγονότας ἑτέρᾳ τέχνῃ ὁμοιοῖ, ταύτῃ ἣν δὴ στερεομετρίαν ἐκάλεσαν οἱ προστυχεῖς αὐτῇ γεγονότες.*

52. – – 981 B–C:

Στερεὰ δὲ σώματα λέγεσθαι χρὴ κατὰ τὸν εἰκότα λόγον πέντε, ἐξ ὧν κάλλιστα καὶ ἄριστά τις ἂν πλάττοι . . . πέντε οὖν ὄντων τῶν σωμάτων πῦρ χρὴ φάναι καὶ ὕδωρ εἶναι καὶ τρίτον ἀέρα, τέταρτον δὲ γῆν, πέμπτον δὲ αἰθέρα.

53. – Timaeus 54E–56B:

τρίγωνα δὲ ἰσόπλευρα συνιστάμενα τέτταρα . . . πρῶτον εἶδος στερεόν (sc. *τετράεδρον*) . . . *δεύτερον δὲ . . . τρίγωνα ὀκτὼ συστάντων* (sc. *ὀκτάεδρον*) . . ., *τὸ δὲ τρίτον . . . εἴκοσι βάσεις ἔχον* (sc. *εἰκοσάεδρον*) . . . *τοῦ τετάρτου φύσιν . . . σχῆμα τοῦ συστάντος σώματος γέγονεν κυβικόν . . . συστάσεως μιᾶς πέμπτης* (sc. *δωδεκάεδρον*), *ἐπὶ τὸ πᾶν ὁ θεὸς αὐτῇ κατεχρήσατο ἐκεῖνο διαζωγραφῶν . . . γῇ τὸ κυβικὸν εἶδος δῶμεν . . . πυραμίδος . . . πυρὸς στοιχεῖον, τὸ δὲ δεύτερον* (sc. *ὀκτάεδρον*) *κατὰ γένεσιν εἴπωμεν ἀέρος, τὸ δὲ τρίτον* (sc. *εἰκοσάεδρον*) *ὕδατος.*

54. Aristoteles, Aγ 1, 71a 1–4:

Πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. φανερὸν δὲ τοῦτο θεωροῦσιν ἐπὶ πασῶν· αἵ τε γὰρ μαθηματικαὶ τῶν ἐπιστημῶν διὰ τούτου τοῦ τρόπου παραγίνονται καὶ τῶν ἄλλων ἑκάστη τεχνῶν.

55. — Aγ 2, 71b 19—23:

Εἰ τοίνυν ἐστὶ τὸ ἐπίστασθαι οἷον ἔθεμεν, ἀνάγκη καὶ τὴν ἀποδεικτικὴν ἐπιστήμην ἐξ ἀληθῶν τ' εἶναι καὶ πρώτων καὶ ἀμέσων καὶ γνωριμωτέρων καὶ προτέρων καὶ αἰτίων τοῦ συμπεράσματος· οὕτω γὰρ ἔσονται καὶ αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου.

56. — Aγ 2, 72a 5—8:

Ἐκ πρώτων δ' ἐστὶ τὸ ἐξ ἀρχῶν οἰκείων· ταὐτὸ γὰρ λέγω πρῶτον καὶ ἀρχήν. ἀρχὴ δ' ἐστὶν ἀποδείξεως πρότασις ἄμεσος, ἄμεσος δὲ ἧς μή ἐστιν ἄλλη προτέρα.

57. — Aγ 2, 72a 14—29:

Ἀμέσου δ' ἀρχῆς συλλογιστικῆς θέσιν μὲν λέγω ἣν μὴ ἔστι δεῖξαι, μηδ' ἀνάγκη ἔχειν τὸν μαθησόμενόν τι· ἣν δ' ἀνάγκη ἔχειν τὸν ὁτιοῦν μαθησόμενον, ἀξίωμα· ἔστι γὰρ ἔνια τοιαῦτα· τοῦτο γὰρ μάλιστ' ἐπὶ τοῖς τοιούτοις εἰώθαμεν ὄνομα λέγειν. θέσεως δ' ἡ μὲν ὁποτερονοῦν τῶν μορίων τῆς ἀποφάνσεως λαμβάνουσα, οἷον λέγω τὸ εἶναί τι ἢ τὸ μὴ εἶναί τι, ὑπόθεσις, ἡ δ' ἄνευ τούτου ὁρισμός. ὁ γὰρ ὁρισμὸς θέσις μέν ἐστι· τίθεται γὰρ ὁ ἀριθμητικὸς μονάδα τὸ ἀδιαίρετον εἶναι κατὰ τὸ ποσόν· ὑπόθεσις δ' οὐκ ἔστι· τὸ γὰρ τί ἐστι μονὰς καὶ τὸ εἶναι μονάδα οὐ ταὐτόν. ἐπεὶ δὲ δεῖ πιστεύειν τε καὶ εἰδέναι τὸ πρᾶγμα τῷ τοιοῦτον ἔχειν συλλογισμὸν ὃν καλοῦμεν ἀπόδειξιν, ἔστι δ' οὗτος τῷ τάδ' εἶναι ἐξ ὧν ὁ συλλογισμός, ἀνάγκη μὴ μόνον προγινώσκειν τὰ πρῶτα, ἢ πάντα ἢ ἔνια, ἀλλὰ καὶ μᾶλλον.

58. — Aγ 4, 73a 21—29:

Ἐπεὶ δ' ἀδύνατον ἄλλως ἔχειν οὗ ἐστιν ἐπιστήμη ἁπλῶς, ἀναγκαῖον ἂν εἴη τὸ ἐπιστητὸν τὸ κατὰ τὴν ἀποδεικτικὴν ἐπιστήμην. ἀποδεικτικὴ δ' ἐστὶν ἣν ἔχομεν τῷ ἔχειν ἀπόδειξιν· ἐξ ἀναγκαίων ἄρα συλλογισμός ἐστιν ἡ ἀπόδειξις. ληπτέον ἄρα ἐκ τίνων καὶ ποίων αἱ ἀποδείξεις εἰσίν. πρῶτον δὲ διορίσωμεν τί λέγομεν *τὸ κατὰ παντὸς καὶ τί τὸ καθ' αὑτὸ καὶ τί τὸ καθόλου. κατὰ παντὸς μὲν οὖν τοῦτο λέγω ὃ ἂν ᾖ μὴ ἐπὶ τινὸς μὲν τινὸς δὲ μή, μηδὲ ποτὲ μὲν ποτὲ δὲ μή.*

59. – Aγ 4, 73b 25–33:

Τὸ μὲν οὖν κατὰ παντὸς καὶ καθ' αὑτὸ διωρίσθω τὸν τρόπον τοῦτον· καθόλου δὲ λέγω ὃ ἂν κατὰ παντός τε ὑπάρχῃ καὶ καθ' αὑτὸ καὶ ᾗ αὐτό. φανερὸν ἄρα ὅτι ὅσα καθόλου, ἐξ ἀνάγκης ὑπάρχει τοῖς πράγμασιν. τὸ καθ' αὑτὸ δὲ καὶ ᾗ αὐτὸ ταὐτόν, οἷον καθ' αὑτὴν τῇ γραμμῇ ὑπάρχει στιγμὴ καὶ τὸ εὐθύ· καὶ γὰρ ᾗ γραμμή. καὶ τῷ τριγώνῳ ᾗ τρίγωνον δύο ὀρθαί· τὸ καθόλου δὲ ὑπάρχει τότε, ὅταν ἐπὶ τοῦ τυχόντος καὶ πρώτου δεικνύηται.

60. – Aγ 7, 75a 38–b 2:

Οὐκ ἄρα ἔστιν ἐξ ἄλλου γένους μεταβάντα δεῖξαι, οἷον τὸ γεωμετρικὸν ἀριθμητικῇ. τρία γάρ ἐστι τὰ ἐν ταῖς ἀποδείξεσιν, ἓν μὲν τὸ ἀποδεικνύμενον τὸ συμπέρασμα· τοῦτο δ' ἐστὶ τὸ ὑπάρχον γένει τινὶ καθ' αὑτό. ἓν δὲ τὰ ἀξιώματα· ἀξιώματα δ' ἐστὶν ἐξ ὧν. τρίτον τὸ γένος τὸ ὑποκείμενον, οὗ τὰ πάθη καὶ τὰ καθ' αὑτὰ συμβεβηκότα δηλοῖ ἡ ἀπόδειξις.

61. – Aγ 9, 75b 37–42:

Ἐπεὶ δὲ φανερὸν ὅτι ἕκαστον ἀποδεῖξαι οὐκ ἔστιν ἀλλ' ἢ ἐκ τῶν ἑκάστου ἀρχῶν, ἂν τὸ δεικνύμενον ὑπάρχῃ ᾗ ἐκεῖνο, οὐκ ἔστι τὸ ἐπίστασθαι τοῦτο, ἂν ἐξ ἀληθῶν καὶ ἀναποδείκτων δειχθῇ καὶ ἀμέσων. ἔστι γὰρ οὕτω δεῖξαι, ὥσπερ Βρύσων τὸν τετραγωνισμόν. κατὰ κοινόν τε γὰρ δεικνύουσιν οἱ τοιοῦτοι λόγοι, ὃ καὶ ἑτέρῳ ὑπάρξει.

62. – Aγ 10, 76a 31–b 34:

Λέγω δ' ἀρχὰς ἐν ἑκάστῳ γένει ταύτας, ἃς ὅτι ἔστι μὴ ἐνδέχεται δεῖξαι. τί μὲν οὖν σημαίνει καὶ τὰ πρῶτα καὶ τὰ ἐκ τούτων, λαμβάνεται· ὅτι δ' ἔστι, τὰς μὲν ἀρχὰς ἀνάγκη λαμβάνειν, τὰ δ' ἄλλα δεικνύναι, οἷον τί μονὰς ἢ τί τὸ εὐθὺ καὶ τρίγωνον· εἶναι δὲ τὴν μονάδα λαβεῖν καὶ μέγεθος, τὰ δ᾽ ἕτερα δεικνύναι.

Ἔστι δ᾽ ὧν χρῶνται ἐν ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις τὰ μὲν ἴδια ἑκάστης ἐπιστήμης τὰ δὲ κοινά, κοινὰ δὲ κατ᾽ ἀναλογίαν, ἐπεὶ χρήσιμόν γε ὅσον ἐν τῷ ὑπὸ τὴν ἐπιστήμην γένει. ἴδια μὲν οἷον γραμμὴν εἶναι τοιανδί, καὶ τὸ εὐθύ, κοινὰ δὲ οἷον τὸ ἴσα ἀπὸ ἴσων ἂν ἀφέλῃ, ὅτι ἴσα τὰ λοιπά. ἱκανὸν δ᾽ ἕκαστον τούτων ὅσον ἐν τῷ γένει· ταὐτὸ γὰρ ποιήσει, κἂν μὴ κατὰ πάντων λάβῃ ἀλλ᾽ ἐπὶ μεγεθῶν μόνον, τῷ δ᾽ ἀριθμητικῷ ἐπ᾽ ἀριθμῶν.

Ἔστι δ᾽ ἴδια μὲν καὶ ἃ λαμβάνεται εἶναι, περὶ ἃ ἡ ἐπιστήμη θεωρεῖ τὰ ὑπάρχοντα καθ᾽ αὑτά, οἷον μονάδας ἡ ἀριθμητική ἡ δὲ γεωμετρία σημεῖα καὶ γραμμάς . . . ὅτι δ᾽ ἔστι, δεικνύουσι διά τε τῶν κοινῶν καὶ ἐκ τῶν ἀποδεδειγμένων . . . πᾶσα γὰρ ἀποδεικτικὴ ἐπιστήμη περὶ τρία ἐστίν, ὅσα τε εἶναι τίθεται (ταῦτα δ᾽ ἐστὶ τὸ γένος, οὗ τῶν καθ᾽ αὑτὰ παθημάτων ἐστὶ θεωρητική), καὶ τὰ κοινὰ λεγόμενα ἀξιώματα, ἐξ ὧν πρώτων ἀποδείκνυσι, καὶ τρίτον τὰ πάθη, ὧν τί σημαίνει ἕκαστον λαμβάνει . . . ἀλλ᾽ οὐδὲν ἧττον τῇ γε φύσει τρία ταῦτά ἐστι, περὶ ὅ τε δείκνυσι καὶ ἃ δείκνυσι καὶ ἐξ ὧν.

Οὐκ ἔστι δ᾽ ὑπόθεσις οὐδ᾽ αἴτημα, ὃ ἀνάγκη εἶναι δι᾽ αὑτὸ καὶ δοκεῖν ἀνάγκη . . . ὅσα μὲν οὖν δεικτὰ ὄντα λαμβάνει αὐτὸς μὴ δείξας, ταῦτ᾽, ἐὰν μὲν δοκοῦντα λαμβάνῃ τῷ μανθάνοντι, ὑποτίθεται, καὶ ἔστιν οὐχ ἁπλῶς ὑπόθεσις ἀλλὰ πρὸς ἐκεῖνον μόνον, ἂν δὲ ἢ μηδεμιᾶς ἐνούσης δόξης ἢ καὶ ἐναντίας ἐνούσης λαμβάνῃ τὸ αὐτὸ αἰτεῖται. καὶ τούτῳ διαφέρει ὑπόθεσις καὶ αἴτημα· ἔστι γὰρ αἴτημα τὸ ὑπεναντίον τοῦ μανθάνοντος τῇ δόξῃ, ἢ ὃ ἄν τις ἀποδεικτὸν ὂν λαμβάνῃ καὶ χρῆται μὴ δείξας.

63. – Aγ 11, 77a 26–28:

Ἐπικοινωνοῦσι δὲ πᾶσαι αἱ ἐπιστῆμαι ἀλλήλαις κατὰ τὰ κοινά. κοινὰ δὲ λέγω οἷς χρῶνται ὡς ἐκ τούτων *ἀποδεικνύντες, ἀλλ' οὐ περὶ ὧν δεικνύουσιν οὐδ' ὃ δεικνύουσιν.*

64. — τϑ 3, 158a 36—b 4:

Ἀδύνατον γὰρ ἀποδεῖξαί τι μὴ ἀρξάμενον ἀπὸ τῶν οἰκείων ἀρχῶν καὶ συνείρο ντα μέχρι τῶν ἐσχάτων. ὁρίζεσθαι μὲν οὖν οὔτ' ἀξιοῦσιν οἱ ἀποκρινόμενοι, οὔτ' ἂν ὁ ἐρωτῶν ὁρίζηται προσέχουσιν· μὴ γενομένου δὲ φανεροῦ τί ποτ' ἐστὶ τὸ προκείμενον, οὐ ῥᾴδιον ἐπιχειρεῖν. μάλιστα δὲ τὸ τοιοῦτον περὶ τὰς ἀρχὰς συμβαίνει· τὰ μὲν γὰρ ἄλλα διὰ τούτων δείκνυται, ταῦτα δ' οὐκ ἐνδέχεται δι' ἑτέρων, ἀλλ' ἀναγκαῖον ὁρισμῷ τῶν τοιούτων ἕκαστον γνωρίζειν.

65. — Μβ 2, 997a 10—13:

πᾶσαι γὰρ αἱ ἀποδεικτικαὶ χρῶνται τοῖς ἀξιώμασιν . . . καθόλου γὰρ μάλιστα καὶ πάντων ἀρχαὶ τὰ ἀξιώματά ἐστιν.

66. — Μγ 3, 1005b 28—34:

Ἐναντία δ' ἐστὶ δόξα δόξῃ ἡ τῆς ἀντιφάσεως, φανερὸν ὅτι ἀδύνατον ἅμα ὑπολαμβάνειν τὸν αὐτὸν εἶναι καὶ μὴ εἶναι τὸ αὐτό· ἅμα γὰρ ἂν ἔχοι τὰς ἐναντίας δόξας ὁ διεψευσμένος περὶ τούτου. διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν· φύσει γὰρ ἀρχὴ καὶ τῶν ἄλλων ἀξιωμάτων αὕτη πάντων.

67. — τα 1, 101a 13—14:

ἀλλ' ἐκ τῶν οἰκείων μὲν τῇ ἐπιστήμῃ λημμάτων.

68. Alexander Aphrod. (ed. I. Bruns, Berolini 1887–1892), De mixtione, II p. 217, 2 = Stoic. vet. frag. II p. 154, 28–30:

τὸ δὲ ταύτας τὰς διαφορὰς εἶναι τῆς μίξεως, πειρᾶται πιστοῦσθαι (sc. Chrysippus) *διὰ τῶν κοινῶν ἐννοιῶν, μάλιστα δὲ κριτήρια τῆς ἀληθείας φησὶν ἡμᾶς παρὰ τῆς φύσεως λαβεῖν ταύτας.*

69. Hero Alexandrinus (ed. I. L. Heiberg, Lipsiae 1899 u. ad 1914), Defin., IV p. 112, 15–23:

ἀξίωμά ἐστι κατὰ τὸν Ἀριστοτέλην, ὅταν μὲν καὶ τῷ μανθάνοντι γνώριμον ᾖ καὶ καθ' αὑτὸ πιστὸν τὸ παραλαμβανόμενον εἰς ἀρχήν, οἷον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα· ὅταν δὲ μὴ ἔχῃ ἔννοιαν ὁ ἀκούων τοῦ λεγομένου τὴν αὐτόπιστον, πείθεται δὲ ὅμως καὶ συγχωρεῖ τῷ λαμβάνοντι, τὸ τοιοῦτον ὑπόθεσίς ἐστι· τὸ γὰρ εἶναι τὸν κύκλον σχῆμα τοιόνδε κατὰ κοινὴν μὲν ἔννοιαν οὐ προείληφεν ἀδιδάκτως, ἀκούσας δὲ συγχωρεῖ χωρὶς ἀποδείξεως.

70. – IV p. 158, 15–160, 7:

αἱ ἀρχαὶ τῆς γεωμετρίας διαιροῦνται εἰς ἀξίωμα, ὑπόθεσιν, αἴτημα, τὰ δὲ μετὰ τὰς ἀρχὰς διαιροῦνται εἰς πρόβλημα καὶ θεώρημα ... τί ἐστιν αἴτημα; ὅταν ἄγνωστον ᾖ τὸ λεγόμενον ἢ μὴ συγχωροῦντος τοῦ μανθάνοντος ὅμως λαμβάνηται, τηνικαῦτα, φησίν, αἴτημα τοῦτο καλοῦμεν, οἷον τὸ πάσας τὰς ὀρθὰς γωνίας ἴσας εἶναι.

71. – Geometrica, IV p. 172, 23–174, 16:

Τὰς ἀρχὰς τῆς γεωμετρίας, ὅθεν τυγχάνουσιν, ἔστιν ἐκ φιλοσοφίας δεῖξαι. ἵνα μὴ ἐξαγώνιοι γενώμεθα, εὔλογόν ἐστι τὸν ὅρον αὐτῆς εἰπεῖν. ἔστιν οὖν ἡ γεωμετρία ἐπιστήμη σχημάτων καὶ μεγεθῶν καὶ τῶν περὶ ταῦτα παθῶν, ὁ δὲ σκοπὸς αὐτῆς περὶ τούτων διαλαμβάνειν, ὁ δὲ τρόπος τῆς διδασκαλίας ἐστὶ συνθετικός· ἀρξάμενος γὰρ ἀπὸ σημείου ἀδιαστάτου ὄντος διὰ μέσης γραμμῆς καὶ ἐπιφανείας καταντᾷ ἐπὶ τὸ στερεόν. τὸ δὲ χρήσιμον αὐτῆς ἄντικρυς εἰς φιλοσοφίαν συντελεῖ· τοῦτο γὰρ καὶ τῷ θείῳ Πλάτωνι δοκεῖ, ἔνθα φησί· ταῦτα τὰ μαθήματα εἴτε χαλεπὰ εἴτε ῥᾴδια, ταύτῃ ἰτέον (Plato, Epinomis 992 A 5: *πορευτέον*). *ἐπιγέγραπται δὲ στοιχεῖα, διότι ὁ μὴ διὰ τούτων πρότερον ἀχθεὶς οὐχ οἷός τέ ἐστι συνιέναι τι τῶν γεωμετρικῶν θεωρημάτων. ἡ δὲ γεωμετρία ἐξ ἀφαιρέσεως τὴν διδασκαλίαν ἐποιήσατο· λαβοῦσα γὰρ φυσικὸν σῶμα, ὅ ἐστι τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας,* *καὶ χωρίσασα τούτου τὴν ἀντιτυπίαν ἐποιήσατο τὸ μαθηματικὸν σῶμα, ὅ ἐστι στερεόν, καὶ ἀφαιροῦσα κατήντησεν ἐπὶ τὸ σημεῖον.*

72. Proclus in Eucl. (ed. G. Friedlein, Lipsiae 1873), p. 75, 27–77, 2:

πρῶτον μὲν οὖν, ἅπερ ἔφην, ἔδει διαστείλασθαι τάς τε ἀρχὰς καὶ τὰ ἑπόμενα ταῖς ἀρχαῖς, ὃ δὴ καὶ ποιεῖ ὁ Εὐκλείδης καθ' ἕκαστον ὡς εἰπεῖν βιβλίον καὶ πρὸ πάσης τῆς πραγματείας τὰς κοινὰς τῆς ἐπιστήμης ταύτης ἀρχὰς ἐκτιθέμενος. ἔπειτα καὶ αὐτὰς διαιρεῖ τὰς κοινὰς ἀρχὰς εἴς τε τὰς ὑποθέσεις καὶ τὰ αἰτήματα καὶ τὰ ἀξιώματα. διαφέρει γὰρ ταῦτα πάντα ἀλλήλων καὶ οὐκ ἔστιν ταὐτὸ ἀξίωμα καὶ αἴτημα καὶ ὑπόθεσις, ὥς πού φησιν ὁ δαιμόνιος Ἀριστοτέλης, ἀλλ' ὅταν μὲν καὶ τῷ μανθάνοντι γνώριμον ᾖ καὶ καθ' αὑτὸ πιστὸν τὸ παραλαμβανόμενον εἰς ἀρχῆς τάξιν, ἀξίωμα τὸ τοιοῦτόν ἐστιν, οἷον τὸ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα εἶναι. ὅταν δὲ μὴ ἔχῃ μὲν ἔννοιαν ὁ ἀκούων τοῦ λεγομένου τὴν αὐτόπιστον, τίθεται δὲ ὅμως καὶ συγχωρεῖ τῷ λαμβάνοντι, τὸ τοιοῦτον ὑπόθεσίς ἐστι. τὸ γὰρ εἶναι τὸν κύκλον σχῆμα τοῖον κατὰ κοινὴν μὲν ἔννοιαν οὐ προειλήφαμεν ἀδιδάκτως, ἀκούσαντες δὲ συγχωροῦμεν ἀποδείξεως χωρίς. ὅταν δὲ αὖ καὶ ἄγνωστον ᾖ τὸ λεγόμενον καὶ μὴ συγχωροῦντος τοῦ μανθάνοντος ὅμως λαμβάνηται, τηνικαῦτα, φησίν, αἴτημα τοῦτο καλοῦμεν, οἷον τὸ πάσας τὰς ὀρθὰς γωνίας ἴσας εἶναι. δηλοῦσι δὲ οἵ περί τινος τῶν αἰτημάτων καταπραγματεύεσθαι σπουδάσαντες, ὡς ὑπὸ μηδενὸς αὐτόθεν συγχωρεῖσθαι δυναμένου. καὶ κατὰ μὲν τὴν Ἀριστοτέλους ὑφήγησιν τοῦτον διώρισται τὸν τρόπον ἀξίωμα καὶ αἴτημα καὶ ὑπόθεσις.

73. – – p. 181, 16–182, 6:

Ἤδη δὲ οἱ μὲν πάντα αἰτήματα καλεῖν ἀξιοῦσιν, ὥσπερ καὶ προβλήματα τὰ ζητούμενα πάντα. καὶ γὰρ ὁ Ἀρχιμήδης τῶν ἀνισορροπιῶν ἀρχόμενος: „Αἰτούμεθα, *φησί, τὰ ἴσα βάρη ἀπὸ τῶν ἴσων μηκῶν ἰσορροπεῖν". καίτοι τοῦτο μᾶλλον ἀξίωμα ἄν τις προσείποι. οἱ δὲ πάντα ἀξιώματα προσαγορεύουσιν, ὥσπερ δὴ καὶ θεωρήματα πάντα τὰ ἀποδείξεως δεόμενα. κατὰ τὴν αὐτὴν γὰρ ὡς ἔοικεν ἀναλογίαν ἀπὸ τῶν ἰδίων ἐπὶ τὰ κοινὰ μεταβεβήκασιν ὀνόματα. διέστηκεν δὲ ὅμως ὥσπερ πρόβλημα θεωρήματος οὕτως καὶ αἴτημα ἀξιώματος, εἰ καὶ ἀμφότερα ἀναπόδεικτά ἐστι, καὶ τὸ μὲν ὡς εὐπόριστον λαμβάνεται* (sc. *αἴτημα*), *τὸ δὲ ὡς εὔγνωστον ὁμολογεῖται* (sc. *ἀξίωμα*). *Γεμῖνος μὲν οὖν κατὰ τοῦτον τὸν λόγον τὰ αἰτήματα διαιρεῖ τῶν ἀξιωμάτων . . .*

74. – – p. 80, 20–81, 18:

ὅθεν καὶ οἱ περὶ τὸν Ποσειδώνιον τὸ μὲν ἀφωρίζοντο πρότασιν, καθ' ἣν ζητεῖται τὸ εἰ ἔστιν ἢ μή, τὸ δὲ πρόβλημα πρότασιν, ἐν ᾗ ζητεῖται τί ἐστιν ἢ ποῖόν τι, καὶ τὴν μὲν θεωρητικὴν πρότασιν ἔλεγον δεῖν ἀποφαντικῶς σχηματίζειν, οἷον πᾶν τρίγωνον μείζους ἔχει τὰς δύο τῆς λοιπῆς, καὶ παντὸς ἰσοσκελοῦς αἱ πρὸς τῇ βάσει ἴσαι, τὴν δὲ προβληματικήν, ὥσπερ ζητοῦντας, εἰ ἔστιν ἐπὶ τῆσδε τῆς εὐθείας συστήσασθαι τρίγωνον. διαφέρειν γάρ, ἢ ἁπλῶς τε καὶ ἀορίστως ζητεῖν, εἰ ἔστι πρὸς ὀρθὰς ἀπὸ τοῦδε τοῦ σημείου τῇδε τῇ εὐθείᾳ, ἢ τίς ἐστιν ἡ πρὸς ὀρθὰς θεωρεῖν.
Ἀλλ' ὅτι μὲν ἔστι τις διαφορὰ τοῦ τε προβλήματος καὶ τοῦ θεωρήματος, δῆλον ἐκ τούτων, ὅτι δὲ καὶ ἡ Εὐκλείδου στοιχείωσις ἔχει τὰ μὲν προβλήματα τὰ δὲ θεωρήματα, φανερὸν ἔσται τοῦτο διὰ τῶν καθ' ἕκαστον καὶ αὐτοῦ προστιθέντος ἐπὶ τέλει τῶν δεικνυμένων ὅπου μὲν τὸ ,,ὅπερ ἔδει ποιῆσαι" (sc. problema) *ὅπου δὲ τὸ ,,ὅπερ ἔδει δεῖξαι", ὡς τῶν θεωρημάτων χαρακτηριστικόν, καίτοι, καθάπερ εἴπομεν, οὔσης καὶ ἐν τοῖς προβλήμασιν ἀποδείξεως, ἀλλ' ὅμως, ὅπου μὲν καὶ ἡ ἀπόδειξις τῆς γενέσεως χάριν – ἵνα γὰρ δείξωμεν, ὅτι πεποίηται τὸ προταχθέν, τὴν ἀπόδειξιν παραλαμ-*

βάνομεν – ὅπου δὲ αὐτὴ δι' ἑαυτήν ἐστιν σπουδῆς ἀξία τὴν φύσιν τοῦ ζητουμένου παριστάνειν δυναμένη.

75. Hero Alexandrinus (ed. I. L. Heiberg, Lipsiae 1899 u. ad 1914), Defin., IV p. 48, 5–10:

Παράλληλοι δὲ καλοῦνται γραμμαὶ ἀσύμπτωτοι, ὅσαι ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι καὶ ἐκβαλλόμεναι ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ μηδέτερα συμπίπτουσιν ἀλλήλαις, αἳ μήτε συννεύουσαι μήτε ἀπονεύουσαι ἐν ἐπιπέδῳ, ἴσας δὲ ἔχουσαι τὰς καθέτους πάσας τὰς ἀγομένας ἀπὸ τῶν ἐπὶ τῆς ἑτέρας σημείων ἐπὶ τὴν λοιπήν.

76. Proclus in Eucl. (ed. G. Friedlein, Lipsiae 1873), p. 176, 5–10:

Καὶ ὁ μὲν Εὐκλείδης τοῦτον ὁρίζεται τὸν τρόπον τὰς παραλλήλους εὐθείας (Elem. 1, def. 23), *ὁ δὲ Ποσειδώνιος, παράλληλοι, φησίν, εἰσὶν αἳ μήτε συννεύουσαι μήτε ἀπονεύουσαι ἐν ἑνὶ ἐπιπέδῳ, ἀλλ' ἴσας ἔχουσαι πάσας τὰς καθέτους τὰς ἀγομένας ἀπὸ τῶν τῆς ἑτέρας σημείων ἐπὶ τὴν λοιπήν.*

77. Hero Alexandrinus (ed. I. L. Heiberg, Lipsiae 1899 u. ad 1914), Defin., IV p. 108, 10–25:

Εὕρηται ἡ γεωμετρία πρῶτον μὲν ἐκ τῶν Αἰγυπτίων, ἤγαγε δὲ εἰς τοὺς Ἕλληνας Θαλῆς. μετὰ δὲ τὸν Θαλῆν Μαμέρτιος ὁ Στησιχόρου ⟨τοῦ⟩ ποιητοῦ ἀδελφὸς καὶ Ἱππίας ὁ Ἠλεῖος καὶ μετὰ ταῦτα ὁ Πυθαγόρας ἄνωθεν τὰς ἀρχὰς αὐτῆς ἐπισκοπούμενος καὶ ἀύλως καὶ νοερῶς τὰ θεωρήματα διερευνώμενος καὶ μετὰ τοῦτον Ἀναξαγόρας καὶ ὁ Πλάτων καὶ Οἰνοπίδης ὁ Χῖος καὶ Θεόδωρος ὁ Κυρηναῖος καὶ Ἱπποκράτης (sc. *ὁ Χῖος*) *πρὸ τοῦ Πλάτωνος. μετὰ ταῦτα καὶ Λεωδάμας ὁ Θάσιος καὶ Ἀρχύτας ὁ Ταραντῖνος καὶ Θεαίτητος ὁ Ἀθηναῖος. Εὔδοξος ὁ Κνίδιος καὶ τρισὶν ἀναλογίαις* (sc. *Εὔδοξος*) *ἄλλας τρεῖς προσέθηκε· καὶ ἄλλοι πολλοί. οὐ πολὺ δὲ τούτων νεώτερός ἐστιν ὁ Εὐκλείδης ὁ τὰ Στοιχεῖα συναγαγών. γέγονε δὲ οὗτος ἐπὶ τοῦ πρώτου*

Πτολεμαίου, νεώτερος μὲν τοῦ Πλάτωνος, ἀρχαιότερος δὲ τοῦ Ἐρατοσθένους καὶ Ἀρχιμήδους· οὗτοι γὰρ σύγχρονοι ἀλλήλοις ἦσαν.

78. Proclus in Eucl. (ed. G. Friedlein, Lipsiae 1873), p. 67, 20–70, 1:

Ἑρμότιμος δὲ ὁ Κολοφώνιος τὰ ὑπ' Εὐδόξου προηυπορημένα καὶ Θεαιτήτου προήγαγεν ἐπὶ πλέον καὶ τῶν στοιχείων πολλὰ ἀνεῦρε καὶ τῶν τόπων τινὰ συνέγραψεν. Φίλιππος δὲ ὁ Μενδαῖος, Πλάτωνος ὢν μαθητὴς καὶ ὑπ' ἐκείνου προτραπεὶς εἰς τὰ μαθήματα, καὶ τὰς ζητήσεις ἐποιεῖτο κατὰ τὰς Πλάτωνος ὑφηγήσεις καὶ ταῦτα προὔβαλλεν ἑαυτῷ, ὅσα ᾤετο τῇ Πλάτωνος φιλοσοφίᾳ συντελεῖν. οἱ μὲν οὖν τὰς ἱστορίας ἀναγράψαντες μέχρι τούτου προάγουσι τὴν τῆς ἐπιστήμης ταύτης τελείωσιν. οὐ πολὺ δὲ τούτων νεώτερός ἐστιν Εὐκλείδης | ὁ τὰ στοιχεῖα συναγαγὼν καὶ πολλὰ μὲν τῶν Εὐδόξου συντάξας, πολλὰ δὲ τῶν Θεαιτήτου τελεωσάμενος, ἔτι δὲ τὰ μαλακώτερον δεικνύμενα τοῖς ἔμπροσθεν εἰς ἀνελέγκτους ἀποδείξεις ἀναγαγών. γέγονε δὲ οὗτος ὁ ἀνὴρ ἐπὶ τοῦ πρώτου Πτολεμαίου· καὶ γὰρ ὁ Ἀρχιμήδης ἐπιβαλὼν καὶ τῷ πρώτῳ μνημονεύει τοῦ Εὐκλείδου, καὶ μέντοι καί φασιν ὅτι Πτολεμαῖος ἤρετό ποτε αὐτόν, εἴ τίς ἐστιν περὶ γεωμετρίαν ὁδὸς συντομωτέρα τῆς στοιχειώσεως· ὁ δὲ ἀπεκρίνατο, μὴ εἶναι βασιλικὴν ἀτραπὸν ἐπὶ γεωμετρίαν. νεώτερος μὲν οὖν ἐστι τῶν περὶ Πλάτωνα, πρεσβύτερος δὲ Ἐρατοσθένους καὶ Ἀρχιμήδους. οὗτοι γὰρ σύγχρονοι ἀλλήλοις, ὥς πού φησιν Ἐρατοσθένης. καὶ τῇ προαιρέσει δὲ Πλατωνικός ἐστι καὶ τῇ φιλοσοφίᾳ ταύτῃ οἰκεῖος, ὅθεν δὴ καὶ τῆς συμπάσης στοιχειώσεως τέλος προεστήσατο τὴν τῶν καλουμένων Πλατωνικῶν σχημάτων σύστασιν. πολλὰ μὲν οὖν καὶ ἄλλα τοῦ ἀνδρὸς τούτου μαθηματικὰ συγγράμματα θαυμαστῆς ἀκριβείας καὶ ἐπιστημονικῆς θεωρίας μεστά. τοιαῦτα γὰρ καὶ τὰ ὀπτικὰ καὶ τὰ κατοπτρικά, *τοιαῦται δὲ καὶ αἱ κατὰ μουσικὴν στοιχειώσεις, ἔτι δὲ τὸ περὶ διαιρέσεων βιβλίον. διαφερόντως δ' ἄν τις αὐτὸν ἀγασθείη κατὰ τὴν γεωμετρικὴν στοιχείωσιν τῆς τάξεως ἕνεκα καὶ τῆς ἐκλογῆς τῶν πρὸς τὰ στοιχεῖα πεποιημένων θεωρημάτων τε καὶ προβλημάτων. καὶ γὰρ οὐχ ὅσα ἐνεχώρει λέγειν ἀλλ' ὅσα στοιχειοῦν ἠδύνατο παρείληφεν, ἔτι δὲ τοὺς τῶν συλλογισμῶν παντοίους τρόπους, τοὺς μὲν ἀπὸ τῶν αἰτιῶν λαμβάνοντας τὴν πίστιν, τοὺς δὲ ἀπὸ τεκμηρίων ὡρμημένους, πάντας δὲ ἀνελέγκτους καὶ ἀκριβεῖς καὶ πρὸς ἐπιστήμην οἰκείους, πρὸς δὲ τούτοις τὰς μεθόδους ἁπάσας τὰς διαλεκτικάς, τὴν μὲν διαιρετικὴν ἐν ταῖς εὑρέσεσι τῶν εἰδῶν, τὴν δὲ ὁριστικὴν ἐν τοῖς οὐσιώδεσι λόγοις, τὴν δὲ ἀποδεικτικὴν ἐν ταῖς ἀπὸ τῶν ἀρχῶν εἰς τὰ ζητούμενα μεταβάσεσι, τὴν δὲ ἀναλυτικὴν ἐν ταῖς ἀπὸ τῶν ζητουμένων ἐπὶ τὰς ἀρχὰς ἀναστροφαῖς. καὶ μὴν καὶ τὰ ποικίλα τῶν ἀντιστροφῶν εἴδη τῶν τε ἁπλουστέρων καὶ τῶν συνθετωτέρων ἱκανῶς ἐστιν ἐν τῇ πραγματείᾳ ταύτῃ διηκριβωμένα θεωρεῖν, καὶ τίνα μὲν ὅλα ὅλοις ἀντιστρέφειν δύναται, τίνα δὲ ὅλα μέρεσι καὶ ἀνάπαλιν, τίνα δὲ ὡς μέρη μέρεσιν. ἔτι δὲ λέγομεν τὴν συνέχειαν τῶν εὑρέσεων, τὴν οἰκονομίαν καὶ τὴν τάξιν τῶν τε προηγουμένων καὶ τῶν ἑπομένων, τὴν δύναμιν, μεθ' ἧς ἕκαστα παραδίδωσιν. ἢ καὶ τὸ τυχὸν προσθεὶς ἢ ἀφελὼν οὐκ ἐπιστήμης λανθάνεις ἀποπεσὼν καὶ εἰς τὸ ἐναντίον ψεῦδος καὶ τὴν ἄγνοιαν ὑπενεχθείς;*

79. – – p. 71, 5–21:

πρὸς δὲ τὸν μανθάνοντα διοριζόμενοι τὸν σκοπὸν αὐτὸ τοῦτο, ὃ λέγεται, στοιχείωσιν αὐτῷ προκεῖσθαι φήσομεν καὶ τελείωσιν τῆς τῶν μανθανόντων διανοίας πρὸς τὴν σύμπασαν γεωμετρίαν. ἀπὸ γὰρ τούτων ὁρμώμενοι καὶ τὰ ἄλλα γνῶναι δυνησόμεθα τῆς ἐπιστήμης ταύτης μέρη, καὶ τὴν ποικιλίαν τὴν ἐν αὐτῇ παραλαβεῖν ἄνευ τούτων ἀδύνατον ἡμῖν ἐστιν καὶ ἄληπτος ἡ τῶν ἄλλων μάθησις. τὰ γὰρ ἀρχοειδέστατα καὶ ἁπλούστατα θεωρήματα καὶ συγγενέστατα ταῖς πρώταις ὑποθέσεσιν ἐνταῦθα συνήθροισται τάξιν λαβόντα τὴν πρέπουσαν, καὶ αἱ τῶν ἄλλων ἀποδείξεις τούτοις ὡς γνωριμωτάταις χρῶνται καὶ ἀπὸ τούτων ὥρμηνται. καθάπερ δὴ καὶ ὁ Ἀρχιμήδης ἐν τοῖς περὶ σφαίρας καὶ κυλίνδρου (I p. 12, 3; 20, 10) καὶ Ἀπολλώνιος (in libris conicorum) καὶ οἱ ἄλλοι πάντες φαίνονται τοῖς ἐν αὐτῇ τῇ πραγματείᾳ δεδειγμένοις ὡς ἀρχαῖς ὁμολογουμέναις χρώμενοι.

80. – – p. 74, 9–19:

κατὰ πάντας δὲ τούτους τοὺς τρόπους εὕροι τις ἂν τὴν Εὐκλείδου στοιχείωσιν τῶν ἄλλων διαφέρουσαν· τὸ μὲν γὰρ χρήσιμον αὐτῆς εἰς τὴν περὶ τῶν ἀρχικῶν σχημάτων συντελεῖ θεωρίαν, τὸ δὲ σαφὲς καὶ διηρθρωμένον ἡ ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ ποικιλώτερα μετάβασις ἀπεργάζεται καὶ ἡ ἀπὸ τῶν κοινῶν ἐννοιῶν καταβολὴ τῆς θεωρίας, τὸ δὲ καθολικὸν τῆς ἀποδείξεως ἡ διὰ τῶν πρώτων θεωρημάτων καὶ ἀρχοειδῶν ἐπὶ τὰ ζητούμενα μετάβασις. καὶ γὰρ ὅσα παραλιμπάνειν δοκεῖ, ἢ ταῖς αὐταῖς ἐφόδοις γίγνεται γνώριμα . . .

INDICES

INDEX RERVM GEOMETRICARVM

I

VOL. I—IV (LIBRI 1—13)

	Definitiones	Postulata	Comm. a. conc.	Propositiones	Appendix (Demonstr. alterae et scholia)	
Vol. I						
Liber 1	23	5	9	48		
Liber 2	2			14	1	
Liber 3	11			37	6	
Liber 4	7			16		
Vol. II						
Liber 5	18			25	1	
Liber 6	5			33	5	
Arithmetica						
Liber 7	23			39	4	
Liber 8				27		
Liber 9				36	2	
Vol. III						
Magnit. irration.						
Liber 10	16 (4+6+6)			115	28	
					47	
Vol. IV					App. I	App. II
Stereometria						
Liber 11	28			39	3	4
Liber 12				18	2	17
Liber 13				18	5	
					10	21
Summa	133	5	9	465	78	

II

VOL. I (LIBRI 1—4)

Liber 1							
Definitiones	23						
Postulata		5					
Comm. a. conc.			9				
Theoremata				34			(4, 5, 6, 7, 8, 13, 14, 15, 16, 17, 18, 19, 20, 21, 24, 25, 26, 27, 28, 29, 30, 32, 33, 34, 35, 36, 37, 38, 39, 40, 41, 43, 47, 48).
Problemata					14		(1, 2, 3, 9, 10, 11, 12, 22, 23, 31, 42, 44, 45, 46).
Porismata						1	(in prop. 15).
Liber 2							
Definitiones	2						
Theoremata				12			(1, 2, 3, 4, 5, 6, 7, 8, 9, 10, 12, 13),
Problemata					2		(11, 14).
Porismata						1	(in prop. 4).
Liber 3							
Definitiones	11						
Theoremata				31			(2, 3, 4, 5, 6, 7, 8, 9, 10, 11, 12, 13, 14, 15, 16, 18, 19, 20, 21, 22, 23, 24, 26, 27, 28, 29, 31, 32, 35, 36, 37).
Problemata					6		(1, 17, 25, 30, 33, 34).
Porismata						3	(in prop. 1, 16, 31).
Liber 4							
Definitiones	7						
Theoremata							
Problemata					16		
Porismata						2	(in prop. 5, 15).
Summa	43	5	9	77	38	7	

INDICES

INDEX PRINCIPIORVM QVIBVS DEMONSTRATIONES NITVNTVR

LIBRI 1—4

Postulata	Libri 1	2	3	4
1	in prop. 2			
2	in prop. 2, 3			
3	in prop. 1, 2			
4				
5	in prop. 29, 44	10		4

Comm. an. conc.	Libri 1	2	3	4
1	in prop. 1, 2, 13, 14, 15, 22, 26, 28, 29, 30, 32, 35, 36, 39, 40, 41, 44, 45, 46, 48.			
2	in prop. 13, 29, 32, 34, 35, 41, 43, 45, 47, 48.			
3	in prop. 2, 5, 14, 15, 28, 35, 43.			
4	in prop. 17, 19, 21.			
5				
6				
7	in prop. 4, 8.			
8	in prop. 6, 7, 16, 18, 20, 24, 26.		24	
9	in prop. 4.			

ORDO RERVM MATHEMATICARVM QVAE ELEMENTORVM LIBRIS 1–4 CONTINENTVR

Libro primo XXIII definitiones, V postulata, IX communes animi conceptiones, XLVIII propositiones continentur. ex quibus XXVI primae ad constructionem et proprietates rectilineorum segmentorum angulorum et triangulorum pertinent. reliquae XXVII–XLVIII ad parallelas rectas, ad parallelogramma eorumque proprietates et ad transformationem rectilineorum segmentorum spectant. praecipue propositione XLIV, quo modo construatur parallelogrammum, demonstratur.

Liber secundus II definitiones et XIV propositiones continet. ex quibus decem primae ad aequalitates algebraicas spectant, quas mathematici nostrae aetatis Pythagoream algebram vocant. undecima est de recta secundum extremam et mediam rationem secanda, proportionibus non adhibitis. duodecima et tertia decima ad theorema, quod hodie theorema cosinus vocatur, pertinent; quarta decima transformationem rectilinei segmenti in quadratum demonstrat.

64	$\frac{\varrho}{\sqrt{2}}\cdot\frac{\alpha^{1/2}}{\lambda^{1/4}}\sqrt{1+\frac{\beta}{\sqrt{\lambda}}} + \frac{\varrho}{\sqrt{2}}\cdot\frac{\alpha^{1/2}}{\lambda^{1/4}}\sqrt{1-\frac{\beta}{\sqrt{\lambda}}}$		ϱ	$\frac{\varrho\alpha}{\sqrt{\lambda}} + \frac{\varrho\alpha^2}{\lambda}$	
	side of a rational plus a medial area	40.		of the fifth binomial	52.
65	$\frac{\varrho}{\sqrt{2}}\left(\frac{\delta}{\gamma}\right)^{1/4}\sqrt{1+\frac{\beta}{\sqrt{\lambda}}} + \frac{\varrho}{\sqrt{2}}\left(\frac{\delta}{\gamma}\right)^{1/4}\sqrt{1-\frac{\beta}{\sqrt{\lambda}}}$		ϱ	$\varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2} + \varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2}\cdot\frac{\alpha}{\sqrt{\lambda}}$	
	side of the sum of two medial areas	41.		of the sixth binomial	53.

TABVLA III

	GIVEN			PROVED
Theorem	of the hypotenuse of a right triangle intersected by the height: first part rational	second part irrational	consequently the height	the height is irrational of the form:
91	ϱ	$\varrho\frac{\delta}{\gamma} - \varrho\frac{\delta}{\gamma}\cdot\frac{\sqrt{\theta}}{\varphi}$ first apotome th. 85.	$\varrho\sqrt{\frac{\delta}{\gamma}\left(1-\frac{\sqrt{\theta}}{\varphi}\right)}$	$= \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(1+\frac{\omega}{\varphi}\right)} - \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(1-\frac{\omega}{\varphi}\right)}$, i. e. of the apotome of th. 73.
92	ϱ	$\varrho\frac{\delta}{\gamma}\cdot\frac{\varphi}{\sqrt{\theta}} - \varrho\frac{\delta}{\gamma}$ second apotome 86.	$\varrho\sqrt{\frac{\delta}{\gamma}\left(\frac{\varphi}{\sqrt{\theta}}-1\right)}$	$= \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(\frac{\varphi+\omega}{\sqrt{\theta}}\right)} - \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(\frac{\varphi-\omega}{\sqrt{\theta}}\right)}$, of the first apotome of a medial 74.
93	ϱ	$\varrho\frac{\varphi}{\sqrt{\varepsilon}} - \frac{\varrho\sqrt{\theta}}{\sqrt{\varepsilon}}$ third apotome 87.	$\varrho\sqrt{\frac{\varphi-\sqrt{\theta}}{\sqrt{\varepsilon}}}$	$= \varrho\sqrt{\frac{\varphi+\omega}{2\sqrt{\varepsilon}}} - \varrho\sqrt{\frac{\varphi-\omega}{2\sqrt{\varepsilon}}}$, of the second apotome of a medial 75.
94	ϱ	$\varrho\frac{\delta}{\gamma} - \varrho\frac{\delta}{\gamma}\cdot\frac{\alpha}{\sqrt{\lambda}}$ fourth apotome 88.	$\varrho\sqrt{\frac{\delta}{\gamma}\left(1-\frac{\alpha}{\sqrt{\lambda}}\right)}$	$= \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(1+\frac{\beta}{\sqrt{\lambda}}\right)} - \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(1-\frac{\beta}{\sqrt{\lambda}}\right)}$, of the minor 76.
95	ϱ	$\varrho\frac{\delta}{\gamma}\cdot\frac{\sqrt{\lambda}}{\alpha} - \varrho\frac{\delta}{\gamma}$ fifth apotome 89.	$\varrho\sqrt{\frac{\delta}{\gamma}\left(\frac{\sqrt{\lambda}}{\alpha}-1\right)}$	$\varrho = \sqrt{\frac{\delta}{2\gamma}\left(\frac{\sqrt{\lambda}+\beta}{\alpha}\right)} - \varrho\sqrt{\frac{\delta}{2\gamma}\left(\frac{\sqrt{\lambda}-\beta}{\alpha}\right)}$, of that which ‘produces’ with a rational area a medial whole 77.
96	ϱ	$\varrho\sqrt{\frac{\lambda}{\varepsilon}} - \frac{\varrho\alpha}{\sqrt{\varepsilon}}$ sixth apotome 90.	$\varrho\sqrt{\frac{\sqrt{\lambda}-\alpha}{\sqrt{\varepsilon}}}$	$= \varrho\sqrt{\frac{\sqrt{\lambda}+\beta}{2\sqrt{\varepsilon}}} - \varrho\sqrt{\frac{\sqrt{\lambda}-\beta}{2\sqrt{\varepsilon}}}$, of that which ‘produces’ with a medial area a medial whole 78.

[We here note six transformations of double radicals out of differences].

PRAEFATIO

TABVLA IV

Theorem	GIVEN: The height of the right triangle corresponding to the hypotenuse — irrational	GIVEN: One part of the hypotenuse intersected by the height — rational	PROVED: The other part of the hypotenuse has the form:
97	$\varrho - \varrho\sqrt{\frac{\delta}{\gamma}}$ Apotome of th. 73.	ϱ	$\varrho\left(1+\frac{\delta}{\gamma}\right) - 2\varrho\sqrt{\frac{\delta}{\gamma}}$ of the first apotome of th. 85.
98	$\varrho\left(\frac{\delta}{\gamma}\right)^{1/4} - \varrho\left(\frac{\delta}{\gamma}\right)^{3/4}$ First apotome of a medial, th. 74.	ϱ	$\varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2}\left(1+\frac{\delta}{\gamma}\right) - 2\varrho\frac{\delta}{\gamma}$ of the second apotome 86.
99	$\varrho\left(\frac{\beta}{\alpha}\right)^{1/4} - \frac{\varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2}}{\left(\frac{\beta}{\alpha}\right)^{1/4}}$ second apotome of a medial, th. 75.	ϱ	$\varrho\left[\left(\frac{\beta}{\alpha}\right)^{1/2} + \frac{\frac{\delta}{\gamma}}{\left(\frac{\beta}{\alpha}\right)^{1/2}}\right] - 2\varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2}$ of the third apotome 87.
100	$\frac{\varrho}{\sqrt{2}}\sqrt{1+\frac{\beta}{\sqrt{\lambda}}} - \frac{\varrho}{\sqrt{\lambda}}\sqrt{1-\frac{\beta}{\sqrt{\lambda}}}$ minor, th. 76.	ϱ	$\varrho - \frac{\varrho\alpha}{\sqrt{\lambda}}$ of the fourth apotome 88.
101	$\frac{\varrho}{\sqrt{2}}\cdot\frac{\alpha^{1/2}}{\lambda^{1/4}}\sqrt{1+\frac{\beta}{\sqrt{\lambda}}} - \frac{\varrho}{\sqrt{2}}\cdot\frac{\alpha^{1/2}}{\lambda^{1/4}}\sqrt{1-\frac{\beta}{\sqrt{\lambda}}}$ that which 'produces' with a rational area a medial whole, th. 77.	ϱ	$\frac{\varrho\alpha}{\sqrt{\lambda}} - \frac{\varrho\alpha^2}{\lambda}$ of the fifth apotome 89.
102	$\frac{\varrho}{\sqrt{2}}\left(\frac{\delta}{\gamma}\right)^{1/4}\sqrt{1+\frac{\beta}{\sqrt{\lambda}}} - \frac{\varrho}{\sqrt{2}}\left(\frac{\delta}{\gamma}\right)^{1/4}\sqrt{1-\frac{\beta}{\sqrt{\lambda}}}$ that which 'produces' with a medial area a medial whole, th. 78.	ϱ	$\varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2} - \varrho\left(\frac{\delta}{\gamma}\right)^{1/2}\cdot\frac{\alpha}{\sqrt{\lambda}}$ of the sixth apotome 90.

For the tables I, II, III, IV: ϱ = rational number as definition 3.

$\varphi^2 - \omega^2 = \vartheta$, $\alpha^2 + \beta^2 = \lambda$, $\alpha, \beta, \gamma, \delta, \varepsilon$ integers, non squares numbers.

PRAEFATIO

TABVLA V

	GIVEN		PROVED
	The height of the right triangle corresponding to the hypotenuse	The first part of the hypotenuse intersected by the height is irrational of the form	The other part of the hypotenuse is irrational of the form
Th. 112	rational	of the first binomial th. 48	of the first apotome th. 85
	rational	of the second binomial 49	of the second apotome 86
	rational	of the third binomial 50	of the third apotome 87
	rational	of the fourth binomial 51	of the fourth apotome 88
	rational	of the fifth binomial 52	of the fifth apotome 89
	rational	of the sixth binomial 53	of the sixth apotome 90
Th. 113	rational	of the first apotome th. 85	of the first binomial th. 48
	rational	of the second apotome 86	of the second binomial 49
	rational	of the third apotome 87	of the third binomial 50
	rational	of the fourth apotome 88	of the fourth binomial 51
	rational	of the fifth apotome 89	of the fifth binomial 52
	rational	of the sixth apotome 90	of the sixth binomial 53

TESTIMONIA

1. Plato, Theaetetus 147 D – 148 C:

ΘΕΑΙΤΗΤΟΣ. Περὶ δυνάμεών τι ἡμῖν Θεόδωρος ὅδε ἔγραφε, τῆς τε τρίποδος πέρι καὶ πεντέποδος ἀποφαίνων ὅτι μήκει οὐ σύμμετροι τῇ ποδιαίᾳ, καὶ οὕτω κατὰ μίαν ἑκάστην προαιρούμενος μέχρι τῆς ἑπτακαιδεκάποδος· ἐν δὲ ταύτῃ πως ἐνέσχετο. ἡμῖν οὖν εἰσῆλθέ τι τοιοῦτον, ἐπειδὴ ἄπειροι τὸ πλῆθος αἱ δυνάμεις ἐφαίνοντο, πειραθῆναι συλλαβεῖν εἰς ἕν, ὅτῳ πάσας ταύτας προσαγορεύσομεν τὰς δυνάμεις.

ΣΩΚΡΑΤΗΣ. Ἦ καὶ ηὕρετέ τι τοιοῦτον;

ΘΕΑΙ. Ἔμοιγε δοκοῦμεν· σκόπει δὲ καὶ σύ.

ΣΩ. Λέγε.

ΘΕΑΙ. Τὸν ἀριθμὸν πάντα δίχα διελάβομεν· τὸν μὲν δυνάμενον ἴσον ἰσάκις γίγνεσθαι τῷ τετραγώνῳ τὸ σχῆμα ἀπεικάσαντες τετράγωνόν τε καὶ ἰσόπλευρον προσείπομεν.

ΣΩ. Καὶ εὖ γε.

ΘΕΑΙ. Τὸν τοίνυν μεταξὺ τούτου, ὧν καὶ τὰ τρία καὶ τὰ πέντε καὶ πᾶς ὃς ἀδύνατος ἴσος ἰσάκις γενέσθαι, ἀλλ' ἢ πλείων ἐλαττονάκις ἢ ἐλλάττων πλεονάκις γίγνεται, μείζων δὲ καὶ ἐλάττων ἀεὶ πλευρὰ αὐτὸν περιλαμβάνει, τῷ προμήκει αὖ σχήματι ἀπεικάσαντες προμήκη ἀριθμὸν ἐκαλέσαμεν.

ΣΩ. Κάλλιστα. ἀλλὰ τί τὸ μετὰ τοῦτο;

ΘΕΑΙ. Ὅσαι μὲν γραμμαὶ τὸν ἰσόπλευρον καὶ ἐπίπεδον ἀριθμὸν τετραγωνίζουσι, μῆκος ὡρισάμεθα, ὅσαι δὲ τὸν ἑτερομήκη, δυνάμεις, ὡς μήκει μὲν οὐ συμμέτρους ἐκείναις, τοῖς δ' ἐπιπέδοις ἃ δύνανται. καὶ περὶ τὰ στερεὰ ἄλλο τοιοῦτον.

2. Plato, Leges 817 E – 820 D:

ΑΘΗΝΑΙΟΣ ΞΕΝΟΣ. Ἔτι δὴ τοίνυν τοῖς ἐλευθέροις ἔστιν τρία μαθήματα, λογισμοὶ μὲν καὶ τὰ περὶ ἀριθμοὺς ἓν μάθημα, μετρητικὴ δὲ μήκους καὶ ἐπιπέδου καὶ βάθους ὡς ἓν αὖ δεύτερον, τρίτον δὲ τῆς τῶν ἄστρων περιόδου πρὸς ἄλληλα ὡς πέφυκεν πορεύεσθαι. ταῦτα δὲ σύμπαντα οὐχ ὡς ἀκριβείας ἐχόμενα δεῖ διαπονεῖν τοὺς πολλοὺς ἀλλά τινας ὀλίγους – οὓς δέ, προϊόντες ἐπὶ τῷ τέλει φράσομεν· οὕτω γὰρ πρέπον ἂν εἴη – τῷ πλήθει δέ, ὅσα αὐτῶν ἀναγκαῖα καί πως ὀρθότατα λέγεται μὴ ἐπίστασθαι μὲν τοῖς πολλοῖς αἰσχρόν, δι᾽ ἀκριβείας δὲ ζητεῖν πάντα οὔτε ῥᾴδιον οὔτε τὸ παράπαν δυνατόν . . .

ΑΘ. Τοσάδε τοίνυν ἑκάστων χρὴ φάναι μανθάνειν δεῖν τοὺς ἐλευθέρους, ὅσα καὶ πάμπολυς ἐν Αἰγύπτῳ παίδων ὄχλος ἅμα γράμμασι μανθάνει. πρῶτον μὲν γὰρ περὶ λογισμοὺς ἀτεχνῶς παισὶν ἐξηυρημένα μαθήματα μετὰ παιδιᾶς τε καὶ ἡδονῆς μανθάνειν, μήλων τέ τινων διανομαὶ καὶ στεφάνων πλείοσιν ἅμα καὶ ἐλάττοσιν ἁρμοττόντων ἀριθμῶν τῶν αὐτῶν, καὶ πυκτῶν καὶ παλαιστῶν ἐφεδρείας τε καὶ συλλήξεως ἐν μέρει καὶ ἐφεξῆς καὶ ὡς πεφύκασι γίγνεσθαι. καὶ δὴ καὶ παίζοντες, φιάλας ἅμα χρυσοῦ καὶ χαλκοῦ καὶ ἀργύρου καὶ τοιούτων τινῶν ἄλλων κεραννύντες, οἱ δὲ καὶ ὅλας πως διαδιδόντες, ὅπερ εἶπον, εἰς παιδιὰν ἐναρμόττοντες τὰς τῶν ἀναγκαίων ἀριθμῶν χρήσεις, ὠφελοῦσι τοὺς μανθάνοντας εἴς τε τὰς τῶν στρατοπέδων τάξεις καὶ ἀγωγὰς καὶ στρατείας καὶ εἰς οἰκονομίας αὖ, καὶ πάντως χρησιμωτέρους αὐτοὺς αὐτοῖς καὶ ἐγρηγορότας μᾶλλον τοὺς ἀνθρώπους ἀπεργάζονται· μετὰ δὲ ταῦτα ἐν ταῖς μετρήσεσιν, ὅσα ἔχει μήκη καὶ πλάτη καὶ βάθη, περὶ ἅπαντα ταῦτα ἐνοῦσάν τινα φύσει γελοίαν τε καὶ αἰσχρὰν ἄγνοιαν ἐν τοῖς ἀνθρώποις πᾶσιν, ταύτης ἀπαλλάττουσιν.

ΚΛΕΙΝΙΑΣ. Ποίαν δὴ καὶ τίνα λέγεις ταύτην;

ΑΘ. Ὦ φίλε Κλεινία, παντάπασί γε μὴν καὶ αὐτὸς ἀκούσας ὀψέ ποτε τὸ περὶ ταῦτα ἡμῶν πάθος ἐθαύμασα, *καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον ἀλλὰ ὑηνῶν τινων εἶναι μᾶλλον θρεμμάτων, ᾐσχύνθην τε οὐχ ὑπὲρ ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων.*

ΚΛ. Τοῦ πέρι; λέγ' ὅτι καὶ φῄς, ὦ ξένε.

ΑΘ. Λέγω δή· μᾶλλον δὲ ἐρωτῶν σοι δείξω. καί μοι σμικρὸν ἀπόκριναι· γιγνώσκεις που μῆκος;

ΚΛ. Τί μήν;

ΑΘ. Τί δέ; πλάτος;

ΚΛ. Πάντως.

ΑΘ. Ἦ καὶ ταῦτα ὅτι δύ' ἐστόν, καὶ τρίτον τούτων βάθος;

ΚΛ. Πῶς γὰρ οὔ;

ΑΘ. Ἆρ' οὖν οὐ δοκεῖ σοι ταῦτα εἶναι πάντα μετρητὰ πρὸς ἄλληλα;

ΚΛ. Ναί.

ΑΘ. Μῆκός τε οἶμαι πρὸς μῆκος, καὶ πλάτος πρὸς πλάτος, καὶ βάθος ὡσαύτως δυνατὸν εἶναι μετρεῖν φύσει.

ΚΛ. Σφόδρα γε.

ΑΘ. Εἰ δ' ἔστι μήτε σφόδρα μήτε ἠρέμα δυνατὰ ἔνια, ἀλλὰ τὰ μέν, τὰ δὲ μή, σὺ δὲ πάντα ἡγῇ, πῶς οἴει πρὸς ταῦτα διακεῖσθαι;

ΚΛ. Δῆλον ὅτι φαύλως.

ΑΘ. Τί δ' αὖ μῆκός τε καὶ πλάτος πρὸς βάθος, ἢ πλάτος τε καὶ μῆκος πρὸς ἄλληλα; [ὥστε πῶς] ἆρ' οὐ διανοούμεθα περὶ ταῦτα οὕτως Ἕλληνες πάντες, ὡς δυνατά ἐστι μετρεῖσθαι πρὸς ἄλληλα ἁμῶς γέ πως;

ΚΛ. Παντάπασι μὲν οὖν.

ΑΘ. Εἰ δ' ἔστιν αὖ μηδαμῶς μηδαμῇ δυνατά, πάντες δ', ὅπερ εἶπον, Ἕλληνες διανοούμεθα ὡς δυνατά, μῶν οὐκ ἄξιον ὑπὲρ πάντων αἰσχυνθέντα εἰπεῖν πρὸς αὐτούς· Ὦ βέλτιστοι τῶν Ἑλλήνων, ἓν ἐκείνων τοῦτ' ἐστὶν ὧν ἔφαμεν αἰσχρὸν μὲν γεγονέναι τὸ μὴ ἐπίστασθαι, τὸ δ' ἐπίστασθαι τἀναγκαῖα οὐδὲν πάνυ καλόν;

ΚΛ. Πῶς δ' οὔ;

ΑΘ. Καὶ πρὸς τούτοις γε ἄλλα ἔστιν τούτων συγγενῆ, ἐν οἷς αὖ πολλὰ ἁμαρτήματα ἐκείνων ἀδελφὰ ἡμῖν ἐγγίγνεται τῶν ἁμαρτημάτων.

XVIII

ΚΛ. Ποῖα δή;

ΑΘ. Τὰ τῶν μετρητῶν τε καὶ ἀμέτρων πρὸς ἄλληλα ἥτινι φύσει γέγονεν. ταῦτα γὰρ δὴ σκοποῦντα διαγιγνώσκειν ἀναγκαῖον ἢ παντάπασιν εἶναι φαῦλον, προβάλλοντά τε ἀλλήλοις ἀεί, διατριβὴν τῆς πεττείας πολὺ χαριεστέραν πρεσβυτῶν διατρίβοντα, φιλονικεῖν ἐν ταῖς τούτων ἀξίαισι σχολαῖς.

ΚΛ. Ἴσως· ἔοικεν γοῦν ἥ τε πεττεία καὶ ταῦτα ἀλλήλων τὰ μαθήματα οὐ πάμπολυ κεχωρίσθαι.

3. Isocrates, Panathenaicus 238 B – D:

Τῆς μὲν οὖν παιδείας τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης τοσούτου δέω καταφρονεῖν, ὥστε καὶ τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ, λέγω δὲ τήν τε γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς ἐριστικοὺς καλουμένους, οἷς οἱ μὲν νεώτεροι μᾶλλον χαίρουσι τοῦ δέοντος, τῶν δὲ πρεσβυτέρων οὐδεὶς ἔστιν, ὅστις ἂν ἀνεκτοὺς αὐτοὺς εἶναι φήσειεν.

Ἀλλ' ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα παρακελεύομαι πονεῖν καὶ προσέχειν τὸν νοῦν ἅπασι τούτοις, λέγων, ὡς εἰ καὶ μηδὲν ἄλλο δύναται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθόν, ἀλλ' οὖν ἀποτρέπει γε τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. τοῖς μὲν οὖν τηλικούτοις οὐδέποτ' ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων οὐδὲ μᾶλλον πρεπούσας· τοῖς δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. ὁρῶ γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὔτ' εὐκαίρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν.

4. Ps.-Aristoteles, De lin. insecab. 968 b 4–14 (→ Xenocrates?):

ἔτι καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐν τοῖς μαθήμασι λέγουσιν, εἴη ἄν τις ἄτομος γραμμή, ὥς φασιν, εἰ σύμμετροί εἰσιν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι, ὅσαι δ' εἰσὶ μετρούμεναι, πᾶσαί εἰσι σύμμετροι (cod. N: ... *σύμμετροι, πᾶσαί εἰσι μετρούμεναι* codd. cett.)· *εἴη γὰρ ἄν τι μῆκος, ᾧ πᾶσαι μετρηθήσονται· τοῦτο δ' ἀνάγκη ἀδιαίρετον εἶναι. εἰ γὰρ διαιρετόν, καὶ τὰ μέρη μέτρου τινὸς ἔσται (σύμμετρα γὰρ τῷ ὅλῳ)· ὥστε ⟨μέτρον⟩ μέρους τινὸς εἶναι διπλασίου τὴν ἡμίσειαν. ἐπεὶ δὲ τοῦτ' ἀδύνατον, ⟨ἀδιαίρετον⟩ ἂν εἴη μέτρον.* (*ὡσαύτως δὲ καὶ αἱ μετρούμεναι ἅπαξ ὑπ' αὐτοῦ, ὥσπερ πᾶσαι αἱ ἐκ τοῦ μέτρου σύνθετοι γραμμαί, ἐξ ἀμερῶν σύγκεινται*).

5. Aristoteles, *Aα*, 41 a 23–34:

Πάντες γὰρ οἱ διὰ τοῦ ἀδυνάτου περαίνοντες τὸ μὲν ψεῦδος συλλογίζονται, τὸ δ' ἐξ ἀρχῆς ἐξ ὑποθέσεως δεικνύουσιν, ὅταν ἀδύνατόν τι συμβαίνῃ τῆς ἀντιφάσεως τεθείσης, οἷον ὅτι ἀσύμμετρος ἡ διάμετρος διὰ τὸ γίνεσθαι τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις συμμέτρου τεθείσης. τὸ μὲν οὖν ἴσα γίνεσθαι τὰ περιττὰ τοῖς ἀρτίοις συλλογίζεται, τὸ δ' ἀσύμμετρον εἶναι τὴν διάμετρον ἐξ ὑποθέσεως δείκνυσιν, ἐπεὶ ψεῦδος συμβαίνει διὰ τὴν ἀντίφασιν. τοῦτο γὰρ ἦν τὸ διὰ τοῦ ἀδυνάτου συλλογίσασθαι, τὸ δεῖξαί τι ἀδύνατον διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. ὥστ' ἐπὶ τοῦ ψεύδους γίνεται συλλογισμὸς δεικτικὸς ἐν τοῖς εἰς τὸ ἀδύνατον ἀπαγομένοις, τὸ δ' ἐξ ἀρχῆς ἐξ ὑποθέσεως δείκνυται.

6. Aristoteles, *ψβ* 2, 413 a 19:

ὁ δὲ λέγων ὅτι ἐστὶν ὁ τετραγωνισμὸς μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον.

7. Aristoteles, *ατ*, 968 b 15–21

πάντα γὰρ τὰ ἀπὸ τῶν ῥητῶν γραμμῶν σύμμετρα ἀλλήλοις, ὥστε ἔσται τὸ μέτρον αὐτῶν ἀμερές. ἀλλὰ μὴν *εἴ τι τμηθήσεται μέτρον τινὰ τεταγμένην καὶ ὡρισμένην γραμμήν, οὐκ ἔσται οὔτε ῥητὴ οὔτ᾽ ἄλογος οὔτε τῶν ἄλλων οὐδεμία ὧν νῦν δὴ εἴρηται, οἷον ἀποτομὴ ἐκ δυοῖν ὀνομάτοιν· ἀλλὰ καθ᾽ αὑτὰς μὲν οὐδέ τινας ἕξουσι φύσεις, πρὸς ἀλλήλας δὲ ἔσονται ῥηταὶ καὶ ἄλογοι.*

8. Aristoteles, *ατ*, 969 b 33–970 a 4:

ἔπειτα πᾶσαι αἱ γραμμαὶ σύμμετροι ἔσονται· πᾶσαι γὰρ ὑπὸ τῶν ἀτόμων μετρηθήσονται, αἵ τε μήκει σύμμετροι καὶ αἱ δυνάμει, αἱ δὲ ἄτομοι σύμμετροι πᾶσαι μήκει· ἴσαι γάρ· ὥστε καὶ δυνάμει.

9. Aristoteles, *ΜΑ*2, 983 a 12–20:

ἄρχονται μὲν γὰρ ὥσπερ εἴπομεν ἀπὸ τοῦ θαυμάζειν πάντες εἰ οὕτως ἔχει, καθάπερ τῶν θαυμάτων ταὐτόματα τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν, ἢ περὶ τὰς τοῦ ἡλίου τροπὰς ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν . . . οὐθὲν γὰρ ἂν οὕτω θαυμάσειεν ἀνὴρ γεωμετρικὸς ὡς εἰ γένοιτο ἡ διάμετρος μετρητή.

10. Aristoteles, *Μδ* 15, 1021 a 3:

τὸ δ᾽ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον ὅλως ἀόριστον κατ᾽ ἀριθμόν· ὁ γὰρ ἀριθμὸς σύμμετρος, κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται.

11. Aristoteles, *Μκ* 3, 1061 a 28–b 3:

καθάπερ δ᾽ ὁ μαθηματικὸς περὶ τὰ ἐξ ἀφαιρέσεως τὴν θεωρίαν ποιεῖται (περιελὼν γὰρ πάντα τὰ αἰσθητὰ θεωρεῖ, οἷον βάρος καὶ κουφότητα καὶ σκληρότητα καὶ τοὐναντίον, ἔτι δὲ καὶ θερμότητα καὶ ψυχρότητα καὶ τὰς ἄλλας τὰς αἰσθητὰς ἐναντιώσεις, μόνον δὲ καταλείπει τὸ ποσὸν καὶ συνεχές, τῶν μὲν ἐφ᾽ ἓν τῶν δ᾽ ἐπὶ δύο τῶν δ᾽ ἐπὶ τρία, καὶ τὰ πάθη τὰ τούτων ᾗ ποσά ἐστι καὶ συνεχῆ, καὶ οὐ καθ᾽ ἕτερόν τι θεωρεῖ, καὶ τῶν μὲν τὰς πρὸς ἄλληλα θέσεις σκοπεῖ καὶ τὰ ταύταις ὑπάρχοντα, *τῶν δὲ τὰς συμμετρίας καὶ ἀσυμμετρίας, τῶν δὲ τοὺς λόγους, ἀλλ' ὅμως μίαν πάντων καὶ τὴν αὐτὴν τίθεμεν ἐπιστήμην τὴν γεωμετρικήν)* . . .

12. Aristoteles, *Ηγ* 5, 1112 a 21–23:

Περὶ δὲ τῶν ἀϊδίων οὐδεὶς βουλεύεται, οἷον περὶ τοῦ κόσμου ἢ τῆς διαμέτρου καὶ τῆς πλευρᾶς, ὅτι ἀσύμμετροι.

13. Hero Alexandrinus (ed. I. L. Heiberg, Lipsiae 1912) Def. IV p. 84, 16–86, 9:

ρκη'. [Περὶ μεγεθῶν συμμέτρων καὶ ἀσυμμέτρων.]
Τίνες μὲν ἄλογοι καὶ ἀσύμμετροι, καὶ τίνες ῥηταὶ καὶ σύμμετροι, ἐν τοῖς πρὸ τῆς ἀριθμητικῆς στοιχειώσεως εἴρηται· νυνὶ δὲ Εὐκλείδῃ τῷ στοιχειωτῇ ἑπόμενοι περὶ τῶν μεγεθῶν φαμεν, ὅτι σύμμετρα μεγέθη λέγεται τὰ ὑπὸ τῶν αὐτῶν μέτρων μετρούμενα, ἀσύμμετρα δέ, ὧν μηδὲν ἐνδέχεται κοινὸν μέτρον γίνεσθαι.

14. Hero Alexandrinus

ρκθ'. [Περὶ εὐθειῶν συμμέτρων καὶ ἀσυμμέτρων.]
Εὐθεῖαι δυνάμει μόνον σύμμετροί εἰσιν, ὅταν τὰ ἀπ' αὐτῶν τετράγωνα τῷ αὐτῷ χωρίῳ μετρῆται, ἀσύμμετροι δέ, ὅταν τοῖς ἀπ' αὐτῶν τετραγώνοις μηδὲν ἐνδέχηται κοινὸν μέτρον χωρίον γενέσθαι. τούτων ὑποκειμένων δείκνυται, ὅτι τῇ προτεθείσῃ εὐθείᾳ σύμμετροί εἰσί τινες εὐθεῖαι ἄπειροι. καλείσθω οὖν ἡ μὲν προτεθεῖσα εὐθεῖα ῥητὴ καὶ αἱ ταύτῃ σύμμετροι ῥηταὶ καὶ τὸ μὲν ἀπὸ τῆς προτεθείσης εὐθείας τετράγωνον ῥητόν, τὰ δὲ ἀπ' αὐτῆς σύμμετρα καὶ τὰ τούτων σύμμετρα ῥητά.

15. Hero Alexandrinus, p. 116, 12–22:

Ἀπὸ τῆς προτεθείσης εὐθείας τετράγωνον ῥητὸν λέγει ὁ Εὐκλείδης. προτεθεῖσα εὐθεῖα καλεῖται, ἥτις ἀρχὴ μέτρων καὶ οἱονεὶ κανὼν εἰς ἐκμέτρησιν ἡμῖν μηκῶν καθ' *ὑπόθεσιν εἴληπται· οἷον, εἴ τις προτείνοι, πόσον εἴη τὸ μεταξὺ διάστημα ὑποκειμένων τινῶν σημείων, οὐδὲν ἂν ἔχοιμεν λέγειν, εἰ δὲ οὕτως πυνθάνοιτο, πόσων ἐστὶ ποδῶν ἢ πηχῶν, ἀναγκαίως ἂν δέοι πήχεως καὶ ποδὸς αἰτεῖν ἡμᾶς παρὰ τοῦ παρέχοντος πηλικότητα καὶ ἐκείνῃ χρωμένους τῇ προτεθείσῃ καὶ ῥητῇ εὐθείᾳ τὸ προτεθὲν διάστημα ἐξετάζειν, εἰ ἔστιν ὅλως ῥητῷ σύμμετρον.*

16. Hero Alexandrinus, p. 136, 7–140, 17:

[*Ῥητὰ μεγέθη λέγεται, ὅσα ἐστὶν ἀλλήλοις σύμμετρα, ὅσα δὲ ἀσύμμετρα, ἄλογά εἰσι μὴ ἔχοντα λόγον πρὸς ἄλληλα.*]

Τὸ ῥητὸν καὶ ἄλογον μέγεθος ἑκάτερον οὐκ ἔστι τῶν καθ' ἑαυτὰ νοουμένων, ἀλλὰ πρὸς ἕτερον συγκρινομένων· ὅσα γὰρ ἀλλήλοις σύμμετρα, ταῦτα καὶ ῥητὰ πρὸς ἄλληλα λέγεται, ὅσα δὲ ἀλλήλοις ἀσύμμετρα, ταῦτα ἄλογα πρὸς ἄλληλα λέγεται. οἱ μὲν ἀριθμοὶ σύμμετροι τυγχάνουσιν, ἐπείπερ ἕκαστος αὐτῶν ὑπό τινος ἐλαχίστου μέτρου μετρεῖται. ὁμοίως δὲ πῆχυς καὶ παλαιστὴς συμμετρίας ἔχουσι πρὸς ἀλλήλους· ἑκάτερος γὰρ ὑπὸ ἐλαχίστου μέτρου καταμετρεῖται ὑπὸ δακτύλου θέσει τῶν μέτρων ὄντων μονάδος θέσιν ἔχοντος αὐτοῦ. ἀπείρου δὲ τῆς ἐν τοῖς μεγέθεσιν ὑπαρχούσης τομῆς καὶ μηδενὸς ὑφεστηκότος ἐλαχίστου μέτρου δῆλον, ὅτι τοῦ ῥητοῦ μεγέθους οὐχ ἕν τι καὶ ὡρισμένον, ὡς ὁ δάκτυλος, ἐλάχιστον μέτρον, ἀλλ' ἐφ' ἡμῖν ἔστιν, ὁπηλίκον ἂν θέλωμεν, ἐλάχιστον ὑποθέσθαι μέτρον γνώριμον, ἐν ᾧ ἡ μονάς· πᾶν γὰρ καθ' ἑαυτὸ μέγεθος, ὡς ἐλέχθη, οὔτε ῥητὸν οὔτε ἄλογον, ὅτι καὶ πᾶσα εὐθεῖα καθ' ἑαυτὴν οὔτε ῥητὴ οὔτε ἄλογός ἐστιν, συγκρινομένη δὲ πρὸς ὑποτεθεῖσαν ἐν θέσει μονάδα ῥητὴ ἢ ἄλογος εὑρίσκεται. οὕτως οὖν τῆς τετραγώνου πλευρᾶς ὑποτεθείσης ῥητῆς ἡ διάμετρος δυνάμει ῥητὴ εὑρίσκεται· μήκει γὰρ ἄλογος εὑρίσκεται· καὶ πάλιν αὖ τῆς διαμέτρου ῥητῆς ὑπαρχούσης ἡ πλευρὰ δυνάμει ῥητὴ ἑκατέρας αὐτῶν καθ' αὑτὴν οὔτε ῥητῆς οὔτε ἀρρήτου, τουτέστιν *ἀλόγου, ὑπαρχούσης. οὕτως οὖν τῶν εὐθειῶν ἐλάχιστόν τι μέτρον ὑποθέμενοι εὐθεῖαν μονάδα οἱ ἀπὸ τῶν μαθημάτων ῥητὴν ὠνόμαζον καὶ τὰς αὐτῇ συμμέτρους ῥητάς· ὁμοίως καὶ τὸ ἀπ᾽ αὐτῆς τετράγωνον ῥητὸν καὶ τὰ τούτῳ σύμμετρα χωρία ῥητὰ ἐκάλεσαν καὶ ῥητὸν ὁμοίως τὸν ἀπ᾽ αὐτῆς κύβον καὶ τὰ τούτῳ σύμμετρα στερεά. ἄρρητον δ᾽ ἀκουστέον, τουτέστιν ἄλογον, στερεὸν μὲν τὸ ἀσύμμετρον τῷ ἀπὸ ῥητῆς κύβῳ, ἐπίπεδον δὲ τὸ ἀσύμμετρον τῷ ἀπὸ ῥητῆς τετραγώνῳ, μῆκος δέ, τουτέστιν εὐθεῖαν, τὸ ῥητῇ ἀσύμμετρον. ἐπὶ δὲ τῶν εὐθειῶν διττῆς νοουμένης τῆς ἀσυμμετρίας, μιᾶς μέν, ὅταν αὐταὶ αἱ εὐθεῖαι ἀσύμμετροι ὦσι, τὰ δὲ ἀπ᾽ αὐτῶν χωρία σύμμετρα ἀλλήλοις, ἑτέρας δέ, ὅταν καὶ τὰ αὐτὰ χωρία ἀσύμμετρα ἀλλήλοις ᾖ, διττὴ καὶ ἡ πρὸς τὴν ῥητὴν διαφορὰ κατὰ τοὺς παλαιοὺς ὑπῆρχεν· αἱ μὲν γὰρ λέγονται δυνάμει ῥηταὶ καὶ ἄλογοι, αἱ δὲ λοιπαὶ μήκει. δυνάμει μέν εἰσι ῥηταί, ὡς προείπομεν, ὅσαι μέν εἰσιν αὐταὶ ἀσύμμετροι τῇ ῥητῇ, τὰ δ᾽ ἀπ᾽ αὐτῶν τετράγωνα σύμμετρα τῷ ἀπὸ ῥητῆς τετραγώνῳ, μήκει δέ, ὅταν τὰ ἀπ᾽ αὐτῶν τετράγωνα ᾖ ἐν τετραγώνοις ἀριθμοῖς ᾖ ἢ τὰς πλευρὰς ἔχῃ συμμέτρους τῇ ῥητῇ μήκει. καὶ καθόλου καλεῖται ἡ τῇ ῥητῇ σύμμετρος ῥητὴ εἴτε μήκει εἴτε δυνάμει μόνον.*

Ὁρίζονται δὲ τὴν ῥητὴν καὶ οὕτως· ῥητή ἐστιν ἡ δι᾽ ἀριθμῶν γνωρίμη. οὐκ ἔστι δὲ ῥητῆς ὅρος οὗτος, ἀλλὰ συμβεβηκὸς αὐτῇ. ὅταν γὰρ λόγου χάριν ἐκτεθῶσι ῥηταὶ τῶν ἀπὸ τῆς πηχυαίας ῥητῆς, οἴδαμεν ἑκάστην, πόσων ἐστὶ παλαιστῶν ἢ δακτύλων· ὅθεν ἐκ τῶν συμβεβηκότων λέγομεν ῥητὴν δι᾽ ἀριθμῶν γνωρίμην. διαφέρει δὲ ῥητὴ δοθείσης τῷ τὴν μὲν ῥητὴν δοθεῖσαν εἶναι πάντως, τὴν δοθεῖσαν δὲ οὐκ ἐξ ἀνάγκης ῥητήν· ἡ μὲν ῥητὴ καὶ πηλικότητι καὶ ποιότητι γνωρίμη ἐστίν, ἡ δὲ δοθεῖσα πηλικότητι καὶ μεγέθει μόνον· καὶ γάρ εἰσί τινες ἄλογοι δεδομέναι.

XXIV

17. Pappus (Abū ʻOthmān al-Damashkī),
In decimum Euclidis Elem. libr. comment. I 9. 13,
p. 71sq. 76sq. Thomson-Junge
(→ Posidonius/Geminus?, → Aristoteles?):

(§ 9) But since irrationality comes to pass in three ways, either by proportion, or addition, or subtraction, it seems to me to be a matter worthy of our wonder (or contemplation), how, in the first place, the all-comprehending power of the Triad distinguishes and determines the irrational nature, not to mention any other, and reaches to the very last of things, the limit (or bound) derived from it appearing in all things; and in the second place, how each one of these three kinds [of irrationals] is necessarily distinguished by one of the means, the geometric distinguishing one, the arithmetical another, and the harmonic the third.

The substance of the Soul, moreover, seems to comprehend the infinity of irrationals; for it is moved directly concerning the nature of continuous quantities according as the ideas (or the forms) of the means which are in it demand, and distinguishes and determines everything which is undefined and indeterminate in the continuous quantities, and shapes them in every respect.

These three [means] are thus bonds by virtue of which not one even of the very last of things, not to mention any other, suffers loss (or change) with respect to the ratios (or relations) which exist in it. On the contrary, whenever it becomes remote from anyone of these ratios (or relations) naturally, it makes a complete revolution and possesses the image of the psychic ratios (or relations). Accordingly whatsoever irrational power there is in the whole (or in the universe), or whatsoever combination there is, constituted of many things added together indefinitely, or whatsoever Non-being there is, such as cannot be described (or conceived) by that method which separates forms, they are all comprehended by the ratios (or relations) which arise in the Soul.

(Apotome) Consequently incommensurability is joined and united (i. e., to the whole) by the harmonic mean, when it appears in the whole as a result of the division (or separa-(Binomiale) tion) of forms; and addition that is undefined by the units (or terms) of the concrete numbers is distinguished by the arithmetical mean; and medial irrationals of every kind that arise in the case of irrational powers, are made equal by reason of the geometric mean.

(§ 13) . . . Now these (i. e. the commensurable and the incommensurable) cover everything which by nature possesses the quality of being divided, and comprehend the union (combination) and separation (division) which is controlled by the God who encircles the world. For inasmuch as divine number precedes the existence of the substances of these things, they are all commensurable conformably to that cause, God measuring all things better than one measures the numbers; but inasmuch as the incommensurability of matter is necessary for the coming into existence of these things, the potentiality (or power) of incommensurability is found in them. It is, moreover, apparent that limit is most fit to control in the case of the commensurables, since it originates from the divine power, but that matter should prevail in the case of those magnitudes which are named incommensurables . . .

. . . Hence numbers are simple and free by nature from this incommensurability, even if they do not precede the incorporeal life; whereas the limits (or bounds) which come thence into the imagination and to a new existence in this representative (or imaginative) activity, become filled with irrationality and share in incommensurability, their nature, in short, consisting of the corporeal accidents.

XXVI

18. Scholia in elementorum librum X (ed. I. L. Heiberg, vol. V, Lipsiae 1888), p. 414–417:

1. *Ὁ σκοπὸς τοῦ ι' βιβλίου τῷ Εὐκλείδῃ διδάξαι περὶ συμμέτρων καὶ ἀσυμμέτρων καὶ περὶ ῥητῶν καὶ ἀλόγων· οὐ γὰρ ταὐτὸν ἀσύμμετρα καὶ ἄλογα, διότι τὰ μὲν φύσει ἔστιν, τὰ δὲ ἄλογα καὶ ῥητὰ θέσει. εἰ γὰρ καὶ τὴν τοῦ τετραγώνου διάμετρον φύσις ἀσύμμετρον ποιεῖ πρὸς τὴν πλευράν, ἀλλὰ κατὰ τοὺς ἐν ἑαυτῇ ἐκείνου λόγους ποιεῖ καὶ οὐ κατὰ τὸ ἐπιτυχόν· ὥστε οὐδὲν τῶν ἀσυμμέτρων τῇ φύσει εἴη ἄλογον, ἀσύμμετρον δέ. καὶ γὰρ ἡ φύσις αὐτὸ ποιεῖ κατὰ πᾶν μέτρον ἀκοινώνητον τῷδέ τινι. ἐν μὲν οὖν τοῖς πρώτοις περὶ συμμέτρων καὶ ἀσυμμέτρων διαλαμβάνει πρὸς τὴν φύσιν αὐτῶν αὐτὰ ἐξετάζων, ἐν δὲ τοῖς ἑξῆς περὶ ῥητῶν καὶ ἀλόγων οὐ πασῶν· τινὲς γὰρ αὐτῷ ὡς ἐνιστάμενοι ἐγκαλοῦσιν· ἀλλὰ τῶν ἁπλουστάτων εἰδῶν, ὧν συντιθεμένων γίνονται ἄπειροι ἄλογοι, ὧν τινας καὶ ὁ Ἀπολλώνιος ἀναγράφει. ἐπιστήμης δὲ τὰ αἴτια καὶ ἀρχηγικὰ καὶ ἁπλᾶ ἐπισκέπτεσθαι, οὐ τὰ καθ' ἕκαστα καὶ ἄπειρα. ἐκτίθεται δ' οὖν τῶν ἀλόγων ἁπλᾶ εἴδη ιγ̅ εὑρεθέντα κατὰ τρόπους τρεῖς, παρ' ἃ οὐχ εὑρεθήσεται ἄλλα ἁπλᾶ. εἰσὶ δὲ οἱ τρόποι ὅ τε κατὰ ἀναλογίαν, δι' οὗ μίαν εὑρίσκει, καὶ ὁ κατὰ σύνθεσιν, δι' οὗ ἕξ, καὶ ὁ κατὰ διαίρεσιν, δι' οὗ τὰς λοιπὰς ἕξ. ἦλθον δὲ τὴν ἀρχὴν ἐπὶ τὴν τῆς συμμετρίας ζήτησιν οἱ Πυθαγόρειοι πρῶτοι αὐτὴν ἐξευρόντες ἐκ τῆς τῶν ἀριθμῶν κατανοήσεως. κοινοῦ γὰρ ἁπάντων ὄντος μέτρου τῆς μονάδος καὶ ἐπὶ τῶν μεγεθῶν κοινὸν μέτρον εὑρεῖν οὐκ ἠδυνήθησαν. αἴτιον δὲ τὸ πάντα μὲν καὶ ὁποιονοῦν ἀριθμὸν καθ' ὁποιασοῦν τομὰς διαιρούμενον μόριόν τι καταλιμπάνειν ἐλάχιστον καὶ τομῆς ἀνεπίδεκτον, πᾶν δὲ μέγεθος ἐπ' ἄπειρον διαιρούμενον μὴ καταλιμπάνειν μόριον, ὃ διὰ τὸ εἶναι ἐλάχιστον τομὴν οὐκ ἐπιδέξεται, ἀλλὰ καὶ ἐκεῖνο ἐπ' ἄπειρον τεμνόμενον ποιεῖν ἄπειρα μόρια, ὧν ἕκαστον ἐπ' ἄπειρον τμηθήσεται, καὶ ἁπλῶς τὸ μὲν μέγεθος κατὰ μὲν τὸ μερίζεσθαι μετέχειν τῆς τοῦ ἀπείρου ἀρχῆς, κατὰ δὲ τὴν ὁλότητα τῆς τοῦ πέρατος, τὸν δὲ ἀριθμὸν κατὰ μὲν*

τὸ μερίζεσθαι τῆς τοῦ πέρατος, κατὰ δὲ τὴν ὁλότητα τῆς τοῦ ἀπείρου. ἐπεὶ οὖν τὰ μέτρα τῶν μετρουμένων ἐλάττονα εἶναι προσήκει, μετρεῖται δὲ πᾶς ἀριθμός, ἀνάγκη πάντων ἔλαττόν τι εἶναι τὸ μέτρον. ὥστε καὶ τῶν μεγεθῶν, εἰ πάντα μετρεῖται κοινῷ μέτρῳ, ἀνάγκη εἶναί τι ἐλάχιστον. ἀλλ᾽ ἐπὶ μὲν τῶν ἀριθμῶν ἔστιν· πεπέρασται γάρ, ὡς προείρηται· ἐπὶ δὲ τῶν μεγεθῶν οὐκέτι. οὐκ ἄρα κοινὸν πάντων τι μεγεθῶν μέτρον. τοῦτο οὖν καὶ οἱ Πυθαγόρειοι ἐγνωκότες συμμετρίαν ὡς ἦν τοῖς μεγέθεσι δυνατὸν ἐξεῦρον. πάντα γὰρ τὰ ὑπὸ τὸ αὐτὸ μέτρον μεγέθη σύμμετρα ὠνόμασαν, τὰ δὲ οὐχ ὑποπίπτοντα τῷ αὐτῷ μέτρῳ ἀσύμμετρα, καὶ τούτων πάλιν, ὅσα μὲν ἄλλῳ τινὶ κοινῷ μετρεῖται μέτρῳ, ἀλλήλοις σύμμετρα, ὅσα δὲ μή, ἀσύμμετρα ἐκείνοις. καὶ οὕτω θέσει λαμβανομένων τῶν μέτρων πάντα εἰς συμμετρίας ἀνήγαγον διαφόρους, εἰ δὲ εἰς διαφόρους, καὶ ὡς πρός τινα οὐ πάντα σύμμετρα εἶναι δύναται. ῥητὰ δὲ πάντα καὶ πάντα ἄλογα δυνατὸν εἶναι ὡς πρός τι· διὸ τὸ μὲν σύμμετρον φύσει ἂν εἴη αὐτοῖς καὶ τὸ ἀσύμμετρον, τὸ δὲ ῥητὸν καὶ ἄλογον θέσει. εὑρίσκεται δὲ τὰ σύμμετρα καὶ ἀσύμμετρα τριχῶς κατὰ τὰς τρεῖς διαστάσεις· καὶ γὰρ γραμμαὶ καὶ ἐπιφάνειαι καὶ στερεά, ὡς ὁ Θέων δείκνυσι καί τινες ἄλλοι. ὅτι δὲ ἐπ᾽ ἄπειρον τὸ μέγεθος διαιρετόν, τοιούτῳ θεωρήματι κέχρηνται. ἰσόπλευρον λαβόντες τρίγωνον τέμνουσι τὴν βάσιν δίχα καὶ ἑνὶ τῶν τμημάτων ἴσον ἀποθέμενοι ἐπὶ μιᾶς τῶν πλευρῶν



ὡς ἐπὶ τὰ πρὸς τῇ βάσει μέρη παράλληλον ἄγουσι δι᾽ ἐκείνου, καὶ ἔσται πάλιν ἰσόπλευρον τὸ ἀπολαμβανόμενον τρίγωνον, οὗ πάλιν τὴν βάσιν κατὰ τὰ αὐτὰ τέμνοντες ὡσαύτως ποιοῦσι καὶ οὐδέποτε καταλήγουσι πρὸς τῇ τοῦ τριγώνου κορυφῇ. εἰ γὰρ καταλήξουσιν, τὸ ἥμισυ τῆς βάσεως τοῦ τότε ἰσοπλεύρου τριγώνου ἑκατέρᾳ τῶν πλευρῶν ἴσον ἔσται. ὥστε καὶ αἱ δύο τῇ λοιπῇ· ὅπερ ἄτοπον.

ὅτι δὲ χρήσιμος ἡ τούτων θεωρία, μὴ καὶ περιττὸν λέγειν. τῶν γὰρ Πυθαγορείων λόγος τὸν πρῶτον τὴν περὶ *τούτων θεωρίαν εἰς τοὐμφανὲς ἐξαγαγόντα ναυαγίῳ περιπεσεῖν, καὶ ἴσως ᾐνίττοντο, ὅτι πᾶν τὸ ἄλογον ἐν τῷ παντὶ καὶ ἄλογον καὶ ἀνείδεον κρύπτεσθαι φιλεῖ, καὶ εἴ τις ἂν ψυχὴ ἐπιδράμοι τῷ τοιούτῳ εἴδει τῆς ζωῆς πρόχειρον καὶ φανερὸν τοῦτο ποιήσηται, εἰς τὸν τῆς γενέσεως ὑποφέρεται πόντον καὶ τοῖς ἀστάτοις ταύτης κλύζεται ῥεύμασιν. τοιοῦτον σέβας καὶ οὗτοι εἶχον οἱ ἄνδρες περὶ τὴν τῶν ἀλόγων θεωρίαν.*

19. Scholia in elementorum librum X

Ad prop. I

26. *Ὅτι οὐκ ἔστιν ἐλάχιστον μέγεθος, ὥς οἱ Δημοκρίτειοί φασιν, καὶ διὰ τούτου τοῦ θεωρήματος δείκνυται, εἴ γε παντὸς τοῦ ἐκκειμένου μεγέθους δυνατὸν ἔλαττον λαβεῖν.*

20. Scholia in elementorum librum X

Ad prop. IX

62. *Τὸ θεώρημα τοῦτο Θεαιτήτειόν ἐστιν εὕρημα, καὶ μέμνηται αὐτοῦ ὁ Πλάτων ἐν Θεαιτήτῳ, ἀλλ᾽ ἐκεῖ μὲν μερικώτερον ἔγκειται, ἐνταῦθα δὲ καθόλου· ἐκεῖ γὰρ τὰ τετράγωνα τὰ ὑπὸ τετραγώνων ἀριθμῶν μετρούμενα συμμέτρους ἔχειν καὶ τὰς πλευράς φησιν. μερικὴ δὲ αὕτη ἡ πρότασις· οὐ γὰρ πάντα τὰ σύμμετρα χωρία, ὧν καὶ αἱ πλευραὶ εἰσι σύμμετροι, περιλαμβάνει.*

INDICES

VOL. III (LIBER X)

Definitiones	a	4				
Definitiones	b	6				(post theorema 47)
Definitiones	c	6				(post theorema 84)
Theoremata			115			(1–115)
Porismata				7		(in prop. 3, 4, 6, 9, 23, 111, 114)
Lemmata					11	(in prop. 9, 13, 16, 18, 21, 28, 28, 32, 41, 53, 59)

ORDO RERVM MATHEMATICARVM QVAE ELEMENTORVM LIBRO X CONTINENTVR

Propositiones decimi libri ad simplices incommensurabiles rectas construendas atque ad simplices incommensurabiles summas et differentias per eas construendas et ad simplices transformationes rectilineorum segmentorum (sc. ad transformationes duplicum radicalium formarum algebraicarum in simplicia) spectant.

Propositionibus CXII et CXIII duo rectangula per simplicissimas incommensurabiles summas et differentias construuntur.

Propositione CXIV de algebraicis quibusdam proprietatibus agitur, quae a summa in differentiam multiplicata producuntur. quia summae simplicissimarum incommensurabilium rectarum sex sunt, similiter et differentiae simplicissimarum incommensurabilium rectarum sex sunt. propositione CXIV multiplicatio primae summae in primam differentiam (rectae ex duobus nominibus in apotomen) exploratur. constructio rectae ex duobus nominibus theoremate XLVIII efficitur, apotomes autem theoremate LXXXV. valde probabile videtur quinque ex octo theorematibus, quae decimo libro exciderunt, ad multiplicationes reliquarum incommensurabilium summarum (quae ad theoremata XLIX, L, LI, LII, LIII referuntur) in reliquas incommensurabiles differentias (quae ad theoremata LXXXVI, LXXXVII, LXXXVIII, LXXXIX, XC referuntur) pertinuisse.

CONSPECTVS SIGLORVM

P	cod. Vatican. Gr. 190, s. X
B	cod. Bodleian. Dorvillian. 10, 1, s. IX
F, φ	cod. Florentin. Laurentian. 28, 3, s. X
V	cod. Vindobon. Gr. 103, s. XI–XII
b	cod. biblioth. comm. Bononiensis 18–19, s. XI
L	cod. Mus. Brit., Add. 17211, s. VII/VIII

ΤΟ ΕΛΛΗΝΙΚΟΝ ΠΝΕΥΜΑ

Περιοδικὸν ΦΥΣΙΚΟΣ ΚΟΣΜΟΣ ΔΕΚΕΜΒΡΙΟΣ 1972

Η ΕΞΕΛΙΞΙΣ ΤΗΣ ΤΕΧΝΙΚΗΣ

ΕΥΑΓΓΕΛΟΥ ΣΤΑΜΑΤΗ

Καθηγητοῦ

Μέλους τῆς Διεθνοῦς Ἀκαδημίας τῆς Ἱστορίας τῶν Ἐπιστημῶν τῶν Παρισίων

Η ΑΦΕΤΗΡΙΑ τῆς δημιουργίας τῶν πρώτων στοιχείων τῆς Τεχνικῆς, ἀνάγεται εἰς τοὺς πρώτους χρόνους τῆς ἐμφανίσεως τοῦ ἀνθρώπου ἐπὶ τῆς Γῆς. Γεννᾶται, ὅμως, ἀμέσως τὸ ἐρώτημα, πότε ἐνεφανίσθη ὁ ἄνθρωπος εἰς τὸν πλανήτην μας. Οἱ περισσότεροι βιολόγοι παραδέχονται τὴν θεωρίαν τῆς ἐξελίξεως τῶν εἰδῶν, τὴν ὁποίαν διετύπωσε πρῶτος ὁ Ἀναξίμανδρος περὶ τὸ 550 π.Χ., ὅπως πληροφορούμεθα ἀπὸ τὴν συγγραφὴν τοῦ Πλουτάρχου «Στρωματεῖς», καὶ μετὰ 2400 περίπου ἔτη διετύπωσε καὶ ὁ Ἄγγλος φυσιοδίφης Δαρβῖνος (1731-1802).

Κατὰ τὴν γνώμην, λοιπόν, τῆς πλειονοψηφίας τῶν βιολόγων, ὁ ἄνθρωπος προῆλθεν ἐκ τῆς ἐξελίξεως τοῦ πιθήκου, περίπου ἓν ἑκατομμ. ἔτη πρὸ τῆς ἐποχῆς μας. Ἄλλοι φυσιοδίφαι, ὅμως, ἔχουν ἀντίθετον γνώμην. Ἡ ἀνάγκη ἀμύνης ἐναντίον τῶν ἀγρίων ζώων ἔκαμε τὸν ἄνθρωπον νὰ ἐπινοήσῃ τὰ πρῶτα στοιχειώδη ὅπλα καὶ ὄργανα ἐκ λίθων. Ἡ ἐποχή, κατὰ τὴν ὁ ποίαν ἔγινεν αὐτὸ συστηματικῶς, ὀνομάζεται Παλαιολιθικὴ ἐποχή, τοποθετεῖται δὲ ὑπὸ μερικῶν ἀνθρωπολόγων 100 χιλ. ἔτη περίπου πρὸ τῆς ἐποχῆς μας.

Εἶναι φανερόν, ὅτι ἡ χρονολογία αὐτὴ ἔρχεται εἰς κάποιαν σύγκρουσιν πρὸς τὴν χρονολογίαν τῆς ἐμφανίσεως τοῦ ἀνθρώπου ἐπὶ τῆς Γῆς· μᾶς δίδει, ὅμως, τὴν εὐκαιρίαν νὰ εἰκάσωμεν τὰς δυσκολίας, τὰς ὁποίας συναντοῦν οἱ ἐπιστήμονες, προκειμένου νὰ προβοῦν εἰς κάποιαν τοποθέτησιν τῶν χρονικῶν διαστημάτων, κατὰ τὰ ὁποῖα ἀνεπτύχθη ἡ Τεχνικὴ ἰδίως κατὰ τὰς πρώτας φάσεις τῆς ἀναπτύξεως της.

Ἀπὸ τὴν Παλαιολιθικὴν ἐποχὴν φθάνομεν εἰς τὴν Νεολιθικὴν ἐποχήν, ἡ ὁποία τοποθετεῖται περὶ τὸ 15-5 χιλ. π.Χ., καὶ χαρακτηρίζεται ἀπὸ τελειότερα λίθινα ὄργανα καὶ ὅπλα, ὅπως βλέπομεν εἰς τὰ λίθινα ἀντικείμενα τῶν μουσείων τῆς Χαιρωνείας καὶ τῆς Παλαιᾶς Κορίνθου. Αἱ διὰ λιθίνων ἐργαλείων χαράξεις εἰς τὰ τειχώματα τῶν σπηλαίων εἰκόνων ζώων, τοποθετοῦνται ἀπὸ ἄλλους μὲν εἰς τὴν Παλαιολιθικὴν ἐποχήν, ἀπὸ ἄλλους δὲ εἰς τὴν Νεολιθικήν. Τοιαῦτα σπήλαια ὑπάρχουν, ὡς γνωστόν, εἰς τὴν Θεσσαλίαν (εἰς τὸ Πήλιον), εἰς τὴν νότιον Γαλλίαν καὶ τὴν Ἱσπανίαν.

Μετὰ τὴν Λιθικὴν ἐποχήν, ἀκολουθεῖ ἡ ἐποχὴ τῶν μετάλλων, τῆς ὁποίας τὸ κύριον χαρακτηριστικὸν εἶναι ἡ χρησιμοποίησις τῆς πυρᾶς. Ἡ χρησιμοποίησις τῆς πυρᾶς εἰς τὴν Τεχνικήν, ἥτις θεωρεῖται μία ἀπὸ τὰς μεγαλειτέρας ἀνακαλύψεις τοῦ ἀνθρωπίνου πνεύματος, τοποθετεῖται περὶ τὰ 10-8 χιλ. ἔτη π.Χ. Τὰ πρῶτα ληφθέντα καθαρὰ μέταλλα ἀπὸ τὰ ὀρυκτά των, διὰ θερμάνσεως αὐτῶν, ἦσαν ὁ κασσίτερος (σημεῖον τήξεως 232 βαθμοὶ Κελσίου), ὁ μόλυβδος (σημεῖον τήξεως 327 βαθμοὶ Κελσίου), καὶ ὁ ψευδάργυρος (σημεῖον τήξεως 420 βαθμοὶ Κελσίου). Περὶ τὴν πέμπτην χιλιετίαν π.Χ. κατεσκευάσθησαν ἀνθεκτικὰ ἐργαλεῖα καὶ ὅπλα ἀπὸ ὀρειχαλκον (κοινῶς μπροῦντζον), ὁ ὁποῖος εἶναι κρᾶμα κασσιτέρου καὶ χαλκοῦ. Τὰ ἐκ σιδήρου ἐργαλεῖα καὶ ὅπλα κατεσκευάσθησαν βραδύτερον, ὅταν ὁ ἄνθρωπος κατώρθωσε νὰ ἐπιτύχῃ μεγάλας θερμοκρασίας. Ὁ Ὅμηρος μᾶς πληροφορεῖ, ὅτι κατὰ τὴν ἐποχὴν τοῦ Τρωικοῦ πολέμου (1200 π.Χ. περίπου) ἡ μεταλλουργία τοῦ σιδήρου ἦτο ἤδη ἀνεπτυγμένη.

Ἡ πρόοδος τῆς συγχρόνου Τεχνικῆς προϋποθέτει γνῶσιν τῶν νόμων τῆς Φύσεως, κατὰ τοὺς ὁποίους λαμβάνουν χώραν τὰ φυσικὰ φαινόμενα, ἐνῷ ἡ παλαιοτέρα Τεχνικὴ ἀνεπτύχθη ἁπλῶς ἐπὶ τῇ βάσει τῆς πείρας. Αἱ πρῶται ἔρευναι διὰ τὴν ἀνακάλυψιν νόμων φυσικῶν ἀποδίδονται εἰς τὸν Θαλῆν τὸν Μιλήσιον, ὅστις περὶ τὸ 600 π.Χ. ἀνεκάλυψε τὸν μαγνητισμὸν καὶ τὸν ἠλεκτρισμόν. Αἱ ἀνακαλύψεις αὐταὶ ἦσαν τόσον σπουδαῖαι, ὥστε δὲν ἔγιναν κατανοηταὶ ὑπὸ τῶν συγχρόνων τοῦ Θαλοῦ, ἀλλ' οὔτε καὶ ὑπὸ τῶν μεταγενεστέρων του! Διὰ νὰ ἐκτιμηθῇ ἡ σημασία τῶν ἀνακαλύψεων τοῦ Θαλοῦ, ἀρκεῖ νὰ σκεφθῶμεν πρὸς στιγμήν, ὅτι δὲν ὑπάρχουν: ἠλεκτρικὸν φῶς, ἠλεκτρικὴ κίνησις, ραδιόφωνον, τηλοψία, ἠλεκτρικὰ πλυντήρια, τηλέφωνον, τηλέγραφος καὶ χίλια δυὸ ἄλλα πράγματα, στηριζόμενα εἰς τὸν μαγνητισμὸν καὶ τὸν ἠλεκτρισμόν. Τὸ περίεργον ἐν προκειμένῳ εἶναι, ὅτι ἐνῷ ἡ σύγχρονος Τεχνικὴ διέπεται ἀπὸ τὸν μαγνητισμὸν καὶ τὸν ἠλεκτρισμόν, ἡ σύγχρονος Ἐπιστήμη εὑρίσκεται εἰς ἀδυναμίαν νὰ ὁρίσῃ τί εἶναι μαγνητισμὸς καὶ τί εἶναι ἠλεκτρισμός, καὶ περιορίζεται, ἁπλῶς, νὰ προβαίνῃ εἰς ἐφαρμογάς των.

Οἱ μεταγενέστεροι τοῦ Θαλοῦ Ἕλληνες ἐπιστήμονες, ἀνεκάλυψαν τὴν δύναμιν, τὴν ὁποίαν ἔχει ὁ ἀτμὸς τοῦ ἐξατμιζομένου ὕδατος διὰ τὴν κίνησιν. Ὡς πρῶτος ἐπιστήμων χρησιμοποιήσας τὴν δύναμιν αὐτὴν ἀναφέρεται ὁ Ἀρχιμήδης, ὁ ὁποῖος εἶχε κατασκευάσει τηλεβόλον λειτουργοῦν διὰ τῆς τάσεως τοῦ ἀτμοῦ. Λίθινον βλῆμα ἢ χάλκινον, βάρους 36 χιλιογράμμων (ἑνὸς ταλάντου βάρους), ἐβάλλετο εἰς ἀπόστασιν 1 000 μέτρων περίπου (6 σταδίων), καὶ κατέστρεφε τὰ πλοῖα τῶν Ρωμαίων, οἱ ὁποῖοι ἐπολιόρκουν τὴν πατρίδα τοῦ Ἀρχιμήδους, τὰς Συρακούσας τῆς Σικελίας (215-212 π.Χ.). Μετὰ τὸν Ἀρχιμήδη, ἀναφέρεται χρησιμοποίησις τοῦ ἀτμοῦ ὑπὸ τοῦ Ἥρωνος, πρυτάνεως τοῦ Ἑλληνικοῦ Πολυτεχνείου τῆς Ἀλεξανδρείας (περὶ τὸν 1ον αἰ. μ.Χ.), ὁ ὁποῖος ἐχρησιμοποίησε τὴν τάσιν τοῦ ἀτμοῦ εἰς τὴν λειτουργίαν αὐτομάτων μηχανημάτων, σχετιζομένων μὲ τὴν ψυχαγωγίαν τῶν πολιτῶν καὶ ἰδίως τῶν παιδιῶν. Μεταξὺ ἄλλων, ὁ Ἥρων εἶχε κατασκευάσει αὐτόματον μηχάνημα, διὰ τοῦ ὁποίου ἠνοίγοντο αὐτομάτως αἱ θύραι ναοῦ τῆς Ἀλεξανδρείας, ὅταν οἱ εὐλαβεῖς προσκυνηταὶ ἐθυσίαζον ἕνα πρόβατον πρὸς τιμὴν τοῦ λατρευομένου θεοῦ των, τὸ ὁποῖον ἔκαιον ἐπὶ εἰδικοῦ βωμοῦ πρὸ τῆς εἰσόδου τοῦ ναοῦ.

Ἡ σύγχρονος Τεχνικὴ ἔχει τὴν ἀφετηρίαν της εἰς τὸν 16ον αἰῶνα. Κατὰ τὸ τέλος τοῦ αἰῶνος αὐτοῦ, ὁ Ἄγγλος Τζίλμπερτ (1544-1603), ἰατρὸς τῆς βασιλίσσης Ἐλισάβετ τῆς Ἀγγλίας, ἐνεθυμήθη τὰς ἀνακαλύψεις τοῦ Θαλοῦ καί, κατὰ τὰς ὥρας τῆς σχολῆς του, ἤρχισε νὰ κάμνῃ πειράματα ἠλεκτρισμοῦ καὶ μαγνητισμοῦ. Τὸ ὄνομα «ἠλεκτρισμός», διὰ τὰ ἠλεκτρικὰ φαινόμενα, ἐδόθη ὑπὸ τοῦ Τζίλμπερτ, ὁ ὁποῖος ἔλαβεν αὐτὸ ἀπὸ τὸ ἤλεκτρον (κεχριμπάρι), εἰς τὸ ὁποῖον ὁ Θαλῆς εἶχε παρατηρήσει τὴν ἕλξιν, ὑπ' αὐτοῦ, μικρῶν καὶ ἐλαφρῶν ὑλικῶν σωμάτων. Τὸ δὲ ὄνομα «μαγνητισμὸς» ἐλήφθη πάλιν ἀπὸ τὸν Θαλῆν, ὅστις εἶχε παρατηρήσει ἕλξιν μικρῶν σιδηρῶν ἀντικειμένων ἀπὸ ὀρυκτὸν ἐξαγόμενον εἰς τὴν περιοχὴν τῆς Ἑλληνικῆς πόλεως τῆς Μικρᾶς Ἀσίας, ἥτις ὠνομάζετο Μαγνησία — ὅπως ὀνομάζεται καὶ σήμερον.

Κατὰ τὸ τέλος τοῦ 18ου αἰῶνος, ὁ Ἄγγλος φυσικὸς καὶ μηχανικὸς Βὰτ κατεσκεύασε τὴν πρώτην μηχανήν, ἡ ὁποία ἐχρησιμοποίησεν ὡς κινητήριον δύναμιν τὸν ἀτμόν. Ὑπάρχουν ὅμως καὶ εἴδη Τεχνικῆς, τὰ ὁποῖα ἀνεπτύχθησαν χωρὶς τὰς δυνάμεις τοῦ ἠλεκτρισμοῦ, τοῦ μαγνητισμοῦ καὶ τοῦ ἀτμοῦ, ὅπως λ.χ. εἶναι ἡ τεχνικὴ τῆς τυπογραφίας, κατὰ τοὺς πρώτους χρόνους μετὰ τὴν ἀνακάλυψιν αὐτῆς (περὶ τὸ 1450).

Ἡ ἐξέλιξις τῆς Τεχνικῆς στηρίζεται εἰς τὴν ἀνάπτυξιν τῶν Μαθηματικῶν, τῆς Μηχανικῆς, τῆς Φυσικῆς καὶ τῆς Χημείας. Αἱ συναφεῖς ἐπιστημονικαὶ ἔρευναι συνεχίζονται ἀπὸ τῆς Κλασσικῆς ἐποχῆς· τὰ ἀποτελέσματα ὅμως τῶν ἐρευνῶν αὐτῶν ἀναφαίνονται μὲ βραδὺν ρυθμόν. Ἀπόδειξις τούτου εἶναι ἡ ἀτομικὴ θεωρία τοῦ Λευκίππου καὶ τοῦ Δημοκρίτου, ἡ ὁποία εἶχε περιπέσει εἰς λήθην, ἐκ τῆς ὁποίας ἀνεσύρθη κατὰ τὸ τέλος τοῦ 19ου αἰῶνος. Κατὰ τὴν αὐτὴν ἐποχήν, περίπου, ἀνεκαλύφθησαν αἱ ἀκτῖνες Ραΐντγκεν, τῶν ὁποίων εἶναι γνωστὴ ἡ σημασία εἰς τὴν Ἰατρικὴν ἐπιστήμην. Ἡ σπουδὴ τῶν ραδιενεργῶν στοιχείων ἀνοίγει νέους δρόμους εἰς τὴν ἔρευναν τῆς ὕλης, ἐνῷ ἡ σπουδὴ τοῦ ἀτόμου (τῆς ὕλης) προσελκύει, κατὰ τὸν τρέχοντα αἰῶνα, τὴν προσοχὴν σπουδαίων ἐπιστημόνων, οἱ ὁποῖοι μὲ τὰς ἐρεύνας των προσφέρουν μεγάλας ὑπηρεσίας εἰς τὴν ἀνάπτυξιν τῆς Τεχνικῆς. Τὸ μέγα πρόβλημα, τὸ ὁποῖον ἀπασχολεῖ τοὺς ἐπιστήμονας τοῦ διανυομένου αἰῶνος εἶναι ἡ σχέσις ἡ ὁποία ὑπάρχει μεταξὺ ὕλης καὶ ἐνεργείας, κυρίως, ὅσον ἀφορᾷ εἰς τὰς πρακτικὰς ἐφαρμογάς. Ἰδιαίτερον ἐνδιαφέρον προκαλεῖ ἡ προσπάθεια σταδιακῆς μετατροπῆς τοῦ ὑδρογόνου εἰς κινητήριον δύναμιν. Ἡ ἔκρηξις μιᾶς βόμβας ὑδρογόνου, χαρακτηρίζεται ἀπὸ στιγμιαίαν μετατροπὴν ὕλης (τοῦ ὑδρογόνου) εἰς ἐνέργειαν. Ἐὰν ἀνακαλυφθῇ τρόπος βαθμιαίας μετατροπῆς τῆς δυνάμεως τοῦ ὑδρογόνου εἰς ἐνέργειαν, ὑπολογίζεται ὅτι ἡ Τεχνικὴ θὰ λάβῃ τεραστίαν ἀνάπτυξιν. Ὑποτίθεται δέ, ὅτι μὲ ἕνα τοιοῦτον βραδὺν ρυθμὸν λειτουργοῦν καὶ αἱ ἑκατοντάδες δισεκατομμυρίων ἡλίων τοῦ σύμπαντος κόσμου, οἱ ὁποῖοι ἀδιακόπως διαχέουν εἰς τὸ σύμπαν ἐνέργειαν, προερχομένην ἐκ βαθμιαίας μετατροπῆς τοῦ ὑδρογόνου εἰς ἐνέργειαν (θερμικὴν ἐνέργειαν κλπ.).

ΕΚΔΟΣΕΙΣ*

1. ΑΡΧΙΜΗΔΟΥΣ ΜΗΧΑΝΙΚΑ Ι. Ἰδίαις δαπάναις. Ἀθῆναι 1946.
2. ΑΡΧΙΜΗΔΟΥΣ ΤΕΤΡΑΓΩΝΙΣΜΟΣ ΠΑΡΑΒΟΛΗΣ. Ἰδίαις δαπάναις. Ἀθῆναι 1946.
3. ΤΟ ΔΗΛΙΟΝ ΠΡΟΒΛΗΜΑ ΚΑΙ Η ΤΡΙΧΟΤΟΜΗΣΙΣ ΓΩΝΙΑΣ. Ἰδίαις δαπάναις. Ἀθῆναι 1949.
4. ΑΡΧΙΜΗΔΟΥΣ ΚΥΚΛΟΥ ΜΕΤΡΗΣΙΣ. Ἰδίαις δαπάναις. Ἀθῆν. 1950.
5. ΕΥΚΛΕΙΔΟΥ, ΓΕΩΜΕΤΡΙΑ. Στοιχείων βιβλία 1 - 4. Εἰσαγωγή, ἀρχαῖον κείμενον - μετάφρασις. Ἰδίαις δαπάναις. Ἀθῆναι 1952.
6. ΕΥΚΛΕΙΔΟΥ, ΓΕΩΜΕΤΡΙΑ — ΘΕΩΡΙΑ ΑΡΙΘΜΩΝ. ΣΤΟΙΧΕΙΩΝ βιβλία V - IX. Εἰσαγωγή, ἀρχαῖον κείμενον - μετάφρασις, ἐπεξηγήσεις. Ἔκδοσις Ὀργανισμοῦ Ἐκδόσεως Σχολικῶν Βιβλίων. Ἀθῆναι 1953.
7. ΕΥΚΛΕΙΔΟΥ, ΠΕΡΙ ΑΣΥΜΜΕΤΡΩΝ. ΣΤΟΙΧΕΙΩΝ βιβλίον X. Εἰσαγωγή, ἀρχαῖον κείμενον - μετάφρασις, ἐπεξηγήσεις. Ἔκδοσις Ἐθνικοῦ Τυπογραφείου. Ἀθῆναι 1956.
8. ΕΥΚΛΕΙΔΟΥ, ΣΤΕΡΕΟΜΕΤΡΙΑ. ΣΤΟΙΧΕΙΩΝ βιβλία XI - XIII. Ἔκδοσις Ὀργανισμοῦ Ἐκδόσεως Σχολικῶν Βιβλίων. Ἀθῆναι 1957.
9. ΑΝΘΟΛΟΓΙΑ ΑΡΧΑΙΩΝ ΚΕΙΜΕΝΩΝ. Μαθηματικὰ - Ἀστρονομία - Φυσικὴ - Μηχανικὴ - Γεωγραφία. Ἰδίαις δαπάναις. Ἀθῆναι 1960.
10. ΑΝΘΟΛΟΓΙΑ ΑΡΧΑΙΩΝ ΚΕΙΜΕΝΩΝ. (Μετάφρασις προηγουμένου, ἐκτὸς Φυσικῆς Γεωγραφίας). Ἰδίαις δαπάναις. Ἀθῆναι 1961.
11. ΔΙΟΦΑΝΤΟΥ, ΑΡΙΘΜΗΤΙΚΑ. Η ΑΛΓΕΒΡΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ. Εἰσαγωγή, ἀρχαῖον κείμενον - μετάφρασις, ἐπεξηγήσεις. Ἔκδοσις Ὀργανισμοῦ Ἐκδόσεως Διδακτικῶν Βιβλίων. Ἀθῆναι 1963.
12. ΠΡΟΣΩΚΡΑΤΙΚΟΙ ΦΙΛΟΣΟΦΟΙ. Ἰδίαις δαπάναις. Ἀθῆναι 1966.
13. Η ΕΛΛΗΝΙΚΗ ΕΠΙΣΤΗΜΗ. Ἰδίαις δαπάναις. Ἀθῆναι 1968.
14. EUCLIDES I, ELEMENTA I - IV. Post I. L. Heiberg edidit E.S. Stamatis. BSB B. G. Teubner, Leipzig 1969.
15. EUCLIDES II, ELEMENTA V - IX. Post I. L. Heiberg, edidit E.S. Stamatis. BSB B. G. Teubner, Leipzig 1970.
16. ΑΡΧΙΜΗΔΟΥΣ ΑΠΑΝΤΑ, τόμος Α', μέρη Α' καὶ Β'. Ἔκδοσις Τεχνικοῦ Ἐπιμελητηρίου τῆς Ἑλλάδος. Ἀθῆναι 1970.
17. ARCHIMEDIS OPERA OMNIA, CUM COMMENTARIIS EUTOCII. Iterim edidit IOHAN LUDWIG HEIBERG, corrigenta adiecit Evangelos S. Stamatis, vol. I, II, III, Studgardiae in aedibus B. G. Teubner, MCMLXXII (Στουτγάρδη, Δυτικῆς Γερμανίας, 1972).
18. ΑΡΧΙΜΗΔΟΥΣ ΑΠΑΝΤΑ, τόμος Β'. Εἰσαγωγή, ἀρχαῖον κείμενον - μετάφρασις, σχόλια κ.λπ. Ἔκδοσις Τεχνικοῦ Ἐπιμελητηρίου τῆς Ἑλλάδος. Ἀθῆναι 1973.

* Αἱ ὑπ' ἀριθμ. 1 - 4 περιλαμβάνονται καὶ εἰς τὸν Α' τόμον.

ΤΟΜΟΣ Β'

ΕΠΙΣΤΗΜΟΝΙΚΑΙ ΕΡΓΑΣΙΑΙ ΑΡΘΡΑ

ΑΓΓΕΛΟΥ Σ. ΣΤΑΜΑΤΗ